# Πρὸς Ῥωμαούς

Παῦλος, δοῦλος Ἰησοῦ χριστοῦ, κλητὸς[1] ἀπόστολος, ἀφωρισμένος[2] εἰς 1
εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο[3] διὰ τῶν προφητῶν αὐτοῦ ἐν 2
γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος 3
Δαυὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος[4] υἱοῦ θεοῦ ἐν δυνάμει, κατὰ 4
πνεῦμα ἁγιωσύνης,[5] ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ χριστοῦ τοῦ
κυρίου ἡμῶν, δι᾽ οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν[6] εἰς ὑπακοὴν[7] 5
πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστὲ 6
καὶ ὑμεῖς, κλητοὶ[1] Ἰησοῦ χριστοῦ: πᾶσιν τοῖς οὖσιν ἐν Ῥώμῃ[8] 7
ἀγαπητοῖς θεοῦ, κλητοῖς[1] ἁγίοις: χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ
πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ.

Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ χριστοῦ ὑπὲρ πάντων 8
ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται[9] ἐν ὅλῳ τῷ κόσμῳ. Μάρτυς 9
γάρ μού ἐστιν ὁ θεός, ᾧ λατρεύω[10] ἐν τῷ πνεύματί μου ἐν τῷ
εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως[11] μνείαν[12] ὑμῶν ποιοῦμαι,
πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος,[13] εἴ πως ἤδη ποτὲ 10
εὐοδωθήσομαι[14] ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. 11
Ἐπιποθῶ[15] γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ[16] χάρισμα[17] ὑμῖν

[1] κλητός, called, summoned. [2] ἀφορίζω, separate, set apart. [3] προεπαγγέλλομαι, promise beforehand. [4] ὁρίζω, mark off by boundaries, determine. [5] ἁγιωσύνη, ης, ἡ, holiness, holy or sanctified state. [6] ἀποστολή, ῆς, ἡ, apostleship, commission. [7] ὑπακοή, ῆς, ἡ, obedience. [8] ῥώμη, ης, ἡ, Rome, strength. [9] καταγγέλλω, proclaim, declare openly. [10] λατρεύω, serve, worship. [11] ἀδιαλείπτως, constantly, unceasingly. [12] μνεία, ας, ἡ, remembrance, mention. [13] δέομαι, ask, request. [14] εὐοδόω, cause to prosper. [15] ἐπιποθέω, long for, strain after. [16] μεταδίδωμι, give a share of, share. [17] χάρισμα, τος, τό, gift, undeserved favor.

πνευματικόν,[1] εἰς τὸ στηριχθῆναι[2] ὑμᾶς, τοῦτο δέ ἐστιν, 12
συμπαρακληθῆναι[3] ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ
ἐμοῦ. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν,[4] ἀδελφοί, ὅτι πολλάκις[5] προεθέμην[6] 13
ἐλθεῖν πρὸς ὑμᾶς – καὶ ἐκωλύθην[7] ἄχρι τοῦ δεῦρο[8] – ἵνα τινὰ
καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησίν 14
τε καὶ βαρβάροις,[10] σοφοῖς[11] τε καὶ ἀνοήτοις[12] ὀφειλέτης[13] εἰμί: οὕτως 15
τὸ κατ᾽ ἐμὲ πρόθυμον[14] καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ[15] εὐαγγελίσασθαι. Οὐ 16
γὰρ ἐπαισχύνομαι[16] τὸ εὐαγγέλιον τοῦ χριστοῦ: δύναμις γὰρ θεοῦ
ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ
Ἕλληνι.[9] Δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται[17] ἐκ πίστεως 17
εἰς πίστιν, καθὼς γέγραπται, Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

Ἀποκαλύπτεται[17] γὰρ ὀργὴ θεοῦ ἀπ᾽ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν[18] καὶ 18
ἀδικίαν[19] ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ[19] κατεχόντων:[20] διότι 19
τὸ γνωστὸν[22] τοῦ θεοῦ φανερόν[23] ἐστιν ἐν αὐτοῖς: ὁ γὰρ θεὸς αὐτοῖς
ἐφανέρωσεν. Τὰ γὰρ ἀόρατα[24] αὐτοῦ ἀπὸ κτίσεως[25] κόσμου τοῖς 20
ποιήμασιν[26] νοούμενα[27] καθορᾶται,[28] ἥ τε ἀΐδιος[29] αὐτοῦ δύναμις καὶ
θειότης,[30] εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους:[31] διότι[21] γνόντες τὸν 21
θεόν, οὐχ ὡς θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν, ἀλλ᾽ ἐματαιώθησαν[32] ἐν

[1] πνευματικός, spiritual. [2] στηρίζω, establish, fix firmly. [3] συμπαρακαλέω, invite, encourage along with others. [4] ἀγνοέω, not know, be unaware. [5] πολλάκις, often, many times. [6] προτίθεμαι, purpose, design beforehand. [7] κωλύω, forbid, hinder. [8] δεῦρο, until now, come here! [9] Ἕλλην, ηνος, ὁ, Greek, Hellene. [10] βάρβαρος, barbarous, barbarian. [11] σοφός, wise. [12] ἀνόητος, foolish, thoughtless. [13] ὀφειλέτης, ου, ὁ, debtor, sinner. [14] πρόθυμος, willing, ready. [15] ῥώμη, ης, ἡ, Rome, strength. [16] ἐπαισχύνομαι, be ashamed, am ashamed. [17] ἀποκαλύπτω, reveal, uncover. [18] ἀσέβεια, ας, ἡ, ungodliness, impiety. [19] ἀδικία, ας, ἡ, unrighteousness. [20] κατέχω, hold back, hold fast. [21] διότι, because, on this account. [22] γνωστός, known, acquaintance. [23] φανερός, manifest, apparent. [24] ἀόρατος, invisible, unseen. [25] κτίσις, εως, ἡ, creation, creature. [26] ποίημα, τος, τό, work, creation. [27] νοέω, understand, consider. [28] καθοράω, perceive, discern clearly. [29] ἀΐδιος, eternal, everlasting. [30] θειότης, ητος, ἡ, divinity, divine nature. [31] ἀναπολόγητος, without excuse, inexcusable. [32] ματαιόω, become vain.

τοῖς διαλογισμοῖς[1] αὐτῶν, καὶ ἐσκοτίσθη[2] ἡ ἀσύνετος[3] αὐτῶν καρδία.
Φάσκοντες[4] εἶναι σοφοὶ[5] ἐμωράνθησαν,[6] καὶ ἤλλαξαν[7] τὴν δόξαν τοῦ 22
ἀφθάρτου[8] θεοῦ ἐν ὁμοιώματι[9] εἰκόνος[10] φθαρτοῦ[11] ἀνθρώπου καὶ
πετεινῶν[12] καὶ τετραπόδων[13] καὶ ἑρπετῶν.[14]

Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν 24
αὐτῶν εἰς ἀκαθαρσίαν,[15] τοῦ ἀτιμάζεσθαι[16] τὰ σώματα αὐτῶν ἐν
ἑαυτοῖς: οἵτινες μετήλλαξαν[17] τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει,[18] 25
καὶ ἐσεβάσθησαν[19] καὶ ἐλάτρευσαν[20] τῇ κτίσει[21] παρὰ τὸν κτίσαντα,[22]
ὅς ἐστιν εὐλογητὸς[23] εἰς τοὺς αἰῶνας. Ἀμήν.

Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη[24] ἀτιμίας:[25] αἵ τε γὰρ 26
θήλειαι[26] αὐτῶν μετήλλαξαν[17] τὴν φυσικὴν[27] χρῆσιν[28] εἰς τὴν παρὰ
φύσιν:[29] ὁμοίως τε καὶ οἱ ἄρρενες,[30] ἀφέντες τὴν φυσικὴν[27] χρῆσιν[28] 27
τῆς θηλείας,[26] ἐξεκαύθησαν[31] ἐν τῇ ὀρέξει[32] αὐτῶν εἰς ἀλλήλους,
ἄρσενες[30] ἐν ἄρσεσιν[30] τὴν ἀσχημοσύνην[33] κατεργαζόμενοι,[34] καὶ τὴν
ἀντιμισθίαν[35] ἣν ἔδει τῆς πλάνης[36] αὐτῶν ἐν ἑαυτοῖς
ἀπολαμβάνοντες.[37]

[1] διαλογισμός, οῦ, ὁ, reasoning, questioning. [2] σκοτίζω, darken. [3] ἀσύνετος, without understanding, unintelligent. [4] φάσκω, affirm, assert. [5] σοφός, wise. [6] μωραίνω, make foolish, make tasteless. [7] ἀλλάσσω, change, alter. [8] ἄφθαρτος, imperishable, immortal. [9] ὁμοίωμα, τος, τό, likeness, form. [10] εἰκών, όνος, ἡ, image, likeness. [11] φθαρτός, perishable, corruptible. [12] πετεινόν, ου, τό, bird. [13] τετράπους, four-footed animal, four-footed. [14] ἑρπετόν, οῦ, τό, creeping thing, reptile. [15] ἀκαθαρσία, ας, ἡ, uncleanness, impurity. [16] ἀτιμάζω, dishonor, disgrace. [17] μεταλλάσσω, exchange, change. [18] ψεῦδος, ους, τό, lie. [19] σεβάζομαι, worship. [20] λατρεύω, serve, worship. [21] κτίσις, εως, ἡ, creation, creature. [22] κτίζω, create, form. [23] εὐλογητός, well spoken of, blessed. [24] πάθος, ους, τό, suffering, pain. [25] ἀτιμία, ας, ἡ, dishonor, disgrace. [26] θῆλυς, female, woman. [27] φυσικός, natural, according to nature. [28] χρῆσις, εως, ἡ, use, function. [29] φύσις, εως, ἡ, nature, inherent nature. [30] ἄρσην, male. [31] ἐκκαίομαι, kindle, be inflamed. [32] ὄρεξις, εως, ἡ, longing, desire. [33] ἀσχημοσύνη, ης, ἡ, disgraceful deed, unseemliness. [34] κατεργάζομαι, work out, produce. [35] ἀντιμισθία, ας, ἡ, reward, recompense. [36] πλάνη, ης, ἡ, wandering, error. [37] ἀπολαμβάνω, receive from, get back.

Καὶ καθὼς οὐκ ἐδοκίμασαν[1] τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει,[2] παρέδωκεν 28
αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον[3] νοῦν,[4] ποιεῖν τὰ μὴ καθήκοντα,[5] 29
πεπληρωμένους πάσῃ ἀδικίᾳ,[6] πορνείᾳ,[7] πονηρίᾳ,[8] πλεονεξίᾳ,[9] κακίᾳ:
μεστοὺς[11] φθόνου,[12] φόνου,[13] ἔριδος,[14] δόλου,[15] κακοηθείας:[16]
ψιθυριστάς,[17] καταλάλους,[18] θεοστυγεῖς,[19] ὑβριστάς,[20] ὑπερηφάνους,[21] 30
ἀλαζόνας,[22] ἐφευρετὰς[23] κακῶν, γονεῦσιν[24] ἀπειθεῖς,[25] ἀσυνέτους,[26] 31
ἀσυνθέτους,[27] ἀστόργους,[28] ἀσπόνδους,[29] ἀνελεήμονας:[30] οἵτινες τὸ 32
δικαίωμα[31] τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι
θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσιν[32]
τοῖς πράσσουσιν.

Διὸ ἀναπολόγητος[33] εἶ, ὦ[34] ἄνθρωπε πᾶς ὁ κρίνων: ἐν ᾧ γὰρ κρίνεις τὸν **2**
ἕτερον, σεαυτὸν κατακρίνεις,[35] τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. 2
Οἴδαμεν δὲ ὅτι τὸ κρίμα[36] τοῦ θεοῦ ἐστιν κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ
τοιαῦτα πράσσοντας. Λογίζῃ δὲ τοῦτο, ὦ[34] ἄνθρωπε ὁ κρίνων τοὺς τὰ 3
τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ[37] τὸ κρίμα[36]
τοῦ θεοῦ; Ἢ τοῦ πλούτου[38] τῆς χρηστότητος[39] αὐτοῦ καὶ τῆς ἀνοχῆς 4
καὶ τῆς μακροθυμίας[41] καταφρονεῖς,[42] ἀγνοῶν[43] ὅτι τὸ χρηστὸν[44] τοῦ

[1] δοκιμάζω, prove, approve. [2] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [3] ἀδόκιμος, not passing the test, rejected. [4] νοῦς, ὁ, mind, reasoning faculty. [5] καθήκω, be proper or fitting, it is fitting. [6] ἀδικία, ας, ἡ, unrighteousness. [7] πορνεία, ας, ἡ, fornication, idolatry. [8] πονηρία, ας, ἡ, iniquity, wickedness. [9] πλεονεξία, ας, ἡ, covetousness, avarice. [10] κακία, ας, ἡ, malice, evil. [11] μεστός, full. [12] φθόνος, ου, ὁ, envy, grudge. [13] φόνος, ου, ὁ, murder, slaughter. [14] ἔρις, ιδος, ἡ, strife, contention. [15] δόλος, ου, ὁ, guile, deceit. [16] κακοήθεια, ας, ἡ, malice, malevolence. [17] ψιθυριστής, οῦ, ὁ, gossip, secret slanderer. [18] κατάλαλος, ου, ὁ, slanderous, back-biting. [19] θεοστυγής, hating God, hateful to God. [20] ὑβριστής, οῦ, ὁ, violent, insolent. [21] ὑπερήφανος, arrogant, haughty. [22] ἀλαζών, ονος, ὁ, impostar, boaster. [23] ἐφευρετής, ου, ὁ, inventor, discoverer. [24] γονεύς, έως, ὁ, parent. [25] ἀπειθής, disobedient, unbelieving. [26] ἀσύνετος, without understanding, unintelligent. [27] ἀσύνθετος, faithless, untrustworthy. [28] ἄστοργος, without natural affection, unfeeling. [29] ἄσπονδος, irreconcilable, implacable. [30] ἀνελεήμων, unmerciful, without compassion. [31] δικαίωμα, τος, τό, regulation, righteous deed. [32] συνευδοκέω, consent, approve. [33] ἀναπολόγητος, without excuse, inexcusable. [34] ὦ, Oh! omega. [35] κατακρίνω, condemn. [36] κρίμα, ος, τό, judgment, verdict. [37] ἐκφεύγω, flee away, flee out. [38] πλοῦτος, ου, ὁ, wealth, riches. [39] χρηστότης, ητος, ἡ, goodness, kindness. [40] ἀνοχή, ῆς, ἡ, forbearance. [41] μακροθυμία, ας, ἡ, long-suffering, patience. [42] καταφρονέω, think little of, despise. [43] ἀγνοέω, not know, be unaware. [44] χρηστός, good, kind.

θεοῦ εἰς μετάνοιάν[1] σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά[2] σου καὶ 5
ἀμετανόητον[3] καρδίαν θησαυρίζεις[4] σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς
καὶ ἀποκαλύψεως[5] καὶ δικαιοκρισίας[6] τοῦ θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ 6
κατὰ τὰ ἔργα αὐτοῦ: τοῖς μὲν καθ’ ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ 7
τιμὴν καὶ ἀφθαρσίαν[7] ζητοῦσιν, ζωὴν αἰώνιον: τοῖς δὲ ἐξ ἐριθείας,[8] 8
καὶ ἀπειθοῦσιν[9] μὲν τῇ ἀληθείᾳ πειθομένοις δὲ τῇ ἀδικίᾳ,[10] θυμὸς[11]
καὶ ὀργή, θλίψις καὶ στενοχωρία,[12] ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ 9
κατεργαζομένου[13] τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος:[14] 10
δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν,
Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι:[14] οὐ γάρ ἐστιν προσωποληψία[15] 11
παρὰ τῷ θεῷ. Ὅσοι γὰρ ἀνόμως[16] ἥμαρτον, ἀνόμως[16] καὶ ἀπολοῦνται: 12
καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται: οὐ γὰρ οἱ 13
ἀκροαταὶ[17] τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ’ οἱ ποιηταὶ[18] τοῦ
νόμου δικαιωθήσονται. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει[19] 14
τὰ τοῦ νόμου ποιῇ, οὗτοι, νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσιν νόμος: 15
οἵτινες ἐνδείκνυνται[20] τὸ ἔργον τοῦ νόμου γραπτὸν[21] ἐν ταῖς καρδίαις
αὐτῶν, συμμαρτυρούσης[22] αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ[23]
ἀλλήλων τῶν λογισμῶν[24] κατηγορούντων[25] ἢ καὶ ἀπολογουμένων,[26] 16
ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ[27] τῶν ἀνθρώπων, κατὰ τὸ

[1] μετάνοια, ας, ἡ, repentance, change of mind. [2] σκληρότης, ητος, ἡ, hardness (of heart), stubbornness. [3] ἀμετανόητος, unrepentant. [4] θησαυρίζω, lay up, store up. [5] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [6] δικαιοκρισία, ας, ἡ, righteous judgment, just judgment. [7] ἀφθαρσία, ας, ἡ, incorruptibility, immortality. [8] ἐριθεία, ας, ἡ, rivalry, ambition. [9] ἀπειθέω, disbelieve, disobey. [10] ἀδικία, ας, ἡ, unrighteousness. [11] θυμός, ου, ὁ, wrath, outburst of passion. [12] στενοχωρία, ας, ἡ, difficulty, distress. [13] κατεργάζομαι, work out, produce. [14] Ἕλλην, ηνος, ὁ, Greek, Hellene. [15] προσωποληψία, ας, ἡ, partiality, favoritism. [16] ἀνόμως, lawlessly, without law. [17] ἀκροατής, οῦ, ὁ, hearer, hearer of. [18] ποιητής, οῦ, ὁ, maker, doer. [19] φύσις, εως, ἡ, nature, inherent nature. [20] ἐνδείκνυμι, show forth, show. [21] γραπτός, written. [22] συμμαρτυρέω, bear witness with, confirm. [23] μεταξύ, between, after. [24] λογισμός, οῦ, ὁ, reasoning, reflection. [25] κατηγορέω, accuse, charge. [26] ἀπολογέομαι, defend one's self, give a defense. [27] κρυπτός, hidden, secret.

εὐαγγέλιόν μου, διὰ Ἰησοῦ χριστοῦ.

Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ,[1] καὶ ἐπαναπαύῃ[2] τῷ νόμῳ, καὶ καυχᾶσαι 17
ἐν θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις[3] τὰ διαφέροντα,[4] 18
κατηχούμενος[5] ἐκ τοῦ νόμου, πέποιθάς τε σεαυτὸν ὁδηγὸν[6] εἶναι 19
τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν[7] ἀφρόνων,[8] διδάσκαλον 20
νηπίων,[9] ἔχοντα τὴν μόρφωσιν[10] τῆς γνώσεως[11] καὶ τῆς ἀληθείας ἐν
τῷ νόμῳ· ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; Ὁ 21
κηρύσσων μὴ κλέπτειν,[12] κλέπτεις;[12] Ὁ λέγων μὴ μοιχεύειν,[13] 22
μοιχεύεις;[13] Ὁ βδελυσσόμενος[14] τὰ εἴδωλα,[15] ἱεροσυλεῖς;[16] Ὃς ἐν 23
νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως[17] τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις;
Τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι᾽ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν, 24
καθὼς γέγραπται. Περιτομὴ μὲν γὰρ ὠφελεῖ,[19] ἐὰν νόμον πράσσῃς· 25
ἐὰν δὲ παραβάτης[20] νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία[21] γέγονεν. 26
Ἐὰν οὖν ἡ ἀκροβυστία[21] τὰ δικαιώματα[22] τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ
ἀκροβυστία[21] αὐτοῦ εἰς περιτομὴν λογισθήσεται; Καὶ κρινεῖ ἡ ἐκ 27
φύσεως[23] ἀκροβυστία,[21] τὸν νόμον τελοῦσα,[24] σὲ τὸν διὰ γράμματος[25]
καὶ περιτομῆς παραβάτην[20] νόμου; Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ[26] 28
Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ[26] ἐν σαρκὶ περιτομή· ἀλλ᾽ ὁ ἐν 29
τῷ κρυπτῷ[27] Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ

[1] ἐπονομάζω, name, impose a name on. [2] ἐπαναπαύομαι, rest, rest upon. [3] δοκιμάζω, prove, approve. [4] διαφέρω, differ, carry through. [5] κατηχέω, teach by word of mouth. [6] ὁδηγός, οῦ, ὁ, leader, guide. [7] παιδευτής, οῦ, ὁ, instructor, one who disciplines. [8] ἄφρων, foolish, senseless. [9] νήπιος, infant, child. [10] μόρφωσις, εως, ἡ, embodiment, form. [11] γνῶσις, εως, ἡ, wisdom, knowledge. [12] κλέπτω, steal. [13] μοιχεύω, commit adultery. [14] βδελύσσομαι, detest, abhor. [15] εἴδωλον, ου, τό, image, idol. [16] ἱεροσυλέω, rob temples, commit sacrilege. [17] παράβασις, εως, ἡ, going aside, transgression. [18] ἀτιμάζω, dishonor, disgrace. [19] ὠφελέω, profit, help. [20] παραβάτης, ου, ὁ, transgressor. [21] ἀκροβυστία, ας, ἡ, uncircumcision, foreskin. [22] δικαίωμα, τος, τό, regulation, righteous deed. [23] φύσις, εως, ἡ, nature, inherent nature. [24] τελέω, finish, fulfill. [25] γράμμα, τος, τό, letter, writings. [26] φανερός, manifest, apparent. [27] κρυπτός, hidden, secret.

γράμματι:[1] οὗ ὁ ἔπαινος[2] οὐκ ἐξ ἀνθρώπων, ἀλλʼ ἐκ τοῦ θεοῦ.

Τί οὖν τὸ περισσὸν[3] τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια[4] τῆς περιτομῆς; **3**
Πολὺ κατὰ πάντα τρόπον:[5] πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ
λόγια[6] τοῦ θεοῦ. Τί γὰρ εἰ ἠπίστησάν[7] τινες; Μὴ ἡ ἀπιστία[8] αὐτῶν 3
τὴν πίστιν τοῦ θεοῦ καταργήσει;[9] Μὴ γένοιτο: γινέσθω δὲ ὁ θεὸς 4
ἀληθής,[10] πᾶς δὲ ἄνθρωπος ψεύστης,[11] καθὼς γέγραπται, Ὅπως ἂν
δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς[12] ἐν τῷ κρίνεσθαί σε. Εἰ δὲ 5
ἡ ἀδικία[13] ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν,[14] τί ἐροῦμεν; Μὴ
ἄδικος[15] ὁ θεὸς ὁ ἐπιφέρων[16] τὴν ὀργήν;– κατὰ ἄνθρωπον λέγω – Μὴ 6
γένοιτο: ἐπεὶ[17] πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον; Εἰ γὰρ ἡ ἀλήθεια τοῦ 7
θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι[18] ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι
κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι; Καὶ μή – καθὼς βλασφημούμεθα, 8
καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν – ὅτι Ποιήσωμεν τὰ κακὰ ἵνα
ἔλθῃ τὰ ἀγαθά; Ὧν τὸ κρίμα[19] ἔνδικόν[20] ἐστιν.

Τί οὖν; Προεχόμεθα;[21] Οὐ πάντως:[22] προῃτιασάμεθα[23] γὰρ Ἰουδαίους 9
τε καὶ Ἕλληνας[24] πάντας ὑφʼ ἁμαρτίαν εἶναι, καθὼς γέγραπται ὅτι 10
Οὐκ ἔστιν δίκαιος οὐδὲ εἷς: οὐκ ἔστιν ὁ συνιῶν,[25] οὐκ ἔστιν ὁ 11
ἐκζητῶν[26] τὸν θεόν: πάντες ἐξέκλιναν,[27] ἅμα[28] ἠχρειώθησαν:[29] οὐκ 12

[1] γράμμα, τος, τό, letter, writings. [2] ἔπαινος, ου, ὁ, praise, commendation. [3] περισσός, excessive, abundant. [4] ὠφέλεια, ας, ἡ, benefit, advantage. [5] τρόπος, ου, ὁ, manner, way. [6] λόγιον, οῦ, τό, saying, oracle. [7] ἀπιστέω, disbelieve, be faithless. [8] ἀπιστία, ας, ἡ, unbelief, unfaithfulness. [9] καταργέω, make ineffective, abolish. [10] ἀληθής, true, unconcealed. [11] ψεύστης, ου, ὁ, liar, deceiver. [12] νικάω, overcome, conquer. [13] ἀδικία, ας, ἡ, unrighteousness. [14] συνίστημι, commend (transitive), stand with. [15] ἄδικος, unjust, unrighteous. [16] ἐπιφέρω, bring upon, inflict. [17] ἐπεί, when, since. [18] ψεῦσμα, τος, τό, lie, falsehood. [19] κρίμα, ος, τό, judgment, verdict. [20] ἔνδικος, righteous, just. [21] προέχω, excel, surpass. [22] πάντως, altogether, by all means. [23] προαιτιάομαι, accuse beforehand. [24] Ἕλλην, ηνος, ὁ, Greek, Hellene. [25] συνίημι, understand, consider. [26] ἐκζητέω, seek out, inquire. [27] ἐκκλίνω, deviate, turn away. [28] ἅμα, at the same time. [29] ἀχρειόω, am good for nothing.

ἔστιν ποιῶν χρηστότητα,[1] οὐκ ἔστιν ἕως ἑνός: τάφος[2] ἀνεῳγμένος ὁ 13
λάρυγξ[3] αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν:[4] ἰὸς[5] ἀσπίδων[6] ὑπὸ
τὰ χείλη[7] αὐτῶν: ὧν τὸ στόμα ἀρᾶς[8] καὶ πικρίας[9] γέμει:[10] ὀξεῖς[11] οἱ 14
πόδες αὐτῶν ἐκχέαι[12] αἷμα: σύντριμμα[13] καὶ ταλαιπωρία[14] ἐν ταῖς 16
ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν: οὐκ ἔστιν φόβος θεοῦ 17
ἀπέναντι[15] τῶν ὀφθαλμῶν αὐτῶν.

Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν 19
στόμα φραγῇ,[16] καὶ ὑπόδικος[17] γένηται πᾶς ὁ κόσμος τῷ θεῷ: διότι[18] 20
ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ: διὰ γὰρ
νόμου ἐπίγνωσις[19] ἁμαρτίας. Νυνὶ[20] δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ 21
πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν: 22
δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ χριστοῦ εἰς πάντας καὶ ἐπὶ
πάντας τοὺς πιστεύοντας: οὐ γάρ ἐστιν διαστολή:[21] πάντες γὰρ 23
ἥμαρτον καὶ ὑστεροῦνται[22] τῆς δόξης τοῦ θεοῦ, δικαιούμενοι δωρεὰν 24
τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως[24] τῆς ἐν χριστῷ Ἰησοῦ: ὃν 25
προέθετο[25] ὁ θεὸς ἱλαστήριον,[26] διὰ τῆς πίστεως, ἐν τῷ αὐτοῦ αἵματι,
εἰς ἔνδειξιν[27] τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν[28] τῶν
προγεγονότων[29] ἁμαρτημάτων,[30] ἐν τῇ ἀνοχῇ[31] τοῦ θεοῦ: πρὸς 26

[1] χρηστότης, ητος, ἡ, goodness, kindness. [2] τάφος, ου, ὁ, grave, tomb. [3] λάρυγξ, γγος, ὁ, throat. [4] δολιόω, deceive, act deceitfully. [5] ἰός, οῦ, ὁ, rust, poison. [6] ἀσπίς, ίδος, ἡ, asp. [7] χεῖλος, ους, τό, lip, edge. [8] ἀρά, ᾶς, ἡ, curse, prayer or prayer for evil. [9] πικρία, ας, ἡ, bitterness. [10] γέμω, fill, am full of. [11] ὀξύς, sharp, swift. [12] ἐκχέω, pour out, shed. [13] σύντριμμα, τος, τό, destruction, ruin. [14] ταλαιπωρία, ας, ἡ, distress, misery. [15] ἀπέναντι, over against, before. [16] φράσσω, stop, shut. [17] ὑπόδικος, answerable, accountable. [18] διότι, because, on this account. [19] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [20] νυνί, now, already. [21] διαστολή, ῆς, ἡ, difference, distinction. [22] ὑστερέω, lack, need. [23] δωρεάν, without cost, without cause. [24] ἀπολύτρωσις, εως, ἡ, redemption, deliverance. [25] προτίθεμαι, purpose, design beforehand. [26] ἱλαστήριον, ου, τό, sin offering, covering. [27] ἔνδειξις, εως, ἡ, proof, sign. [28] πάρεσις, εως, ἡ, passing over, overlooking. [29] προγίνομαι, happen before, be done before. [30] ἁμάρτημα, τος, τό, sin, fault. [31] ἀνοχή, ῆς, ἡ, forbearance.

ἔνδειξιν[1] τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν
δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. Ποῦ οὖν ἡ καύχησις;[2] 27
Ἐξεκλείσθη.[3] Διὰ ποίου νόμου; Τῶν ἔργων; Οὐχί, ἀλλὰ διὰ νόμου
πίστεως. Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων 28
νόμου. Ἢ Ἰουδαίων ὁ θεὸς μόνον; Οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ 29
ἐθνῶν: ἐπείπερ[4] εἷς ὁ θεός, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ 30
ἀκροβυστίαν[5] διὰ τῆς πίστεως. Νόμον οὖν καταργοῦμεν[6] διὰ τῆς 31
πίστεως; Μὴ γένοιτο: ἀλλὰ νόμον ἱστῶμεν.

Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; Εἰ **4**
γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα,[7] ἀλλʼ οὐ πρὸς τὸν
θεόν. Τί γὰρ ἡ γραφὴ λέγει; Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ 3
ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς[8] οὐ 4
λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα.[9] Τῷ δὲ μὴ ἐργαζομένῳ, 5
πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ,[10] λογίζεται ἡ πίστις
αὐτοῦ εἰς δικαιοσύνην. Καθάπερ[11] καὶ Δαυὶδ λέγει τὸν μακαρισμὸν[12] 6
τοῦ ἀνθρώπου, ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων, 7
Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι,[13] καὶ ὧν ἐπεκαλύφθησαν[14] αἱ
ἁμαρτίαι. Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν. Ὁ 8
μακαρισμὸς[12] οὖν οὗτος ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ τὴν
ἀκροβυστίαν;[5] Λέγομεν γὰρ ὅτι Ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς

[1] ἔνδειξις, εως, ἡ, proof, sign. [2] καύχησις, εως, ἡ, boasting, act of boasting. [3] ἐκκλείω, shut out, exclude. [4] ἐπείπερ, since indeed, seeing that. [5] ἀκροβυστία, ας, ἡ, uncircumcision, foreskin. [6] καταργέω, make ineffective, abolish. [7] καύχημα, τος, τό, boasting, ground of boasting. [8] μισθός, οῦ, ὁ, wages, reward. [9] ὀφείλημα, τος, τό, debt, that which is owed. [10] ἀσεβής, ungodly, impious. [11] καθάπερ, even as, just as. [12] μακαρισμός, οῦ, ὁ, blessing, regarding as happy. [13] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [14] ἐπικαλύπτω, cover up.

δικαιοσύνην. Πῶς οὖν ἐλογίσθη; Ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ 10
; Οὐκ ἐν περιτομῇ, ἀλλ᾽ ἐν ἀκροβυστίᾳ·[1] καὶ σημεῖον ἔλαβεν 11
περιτομῆς, σφραγῖδα[2] τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ
ἀκροβυστίᾳ·[1] εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι᾽
ἀκροβυστίας,[1] εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην· καὶ 12
πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς
στοιχοῦσιν[3] τοῖς ἴχνεσιν[4] τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ[1] τοῦ
πατρὸς ἡμῶν Ἀβραάμ. Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ 13
τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον[5] αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ
διὰ δικαιοσύνης πίστεως. Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι,[5] κεκένωται 14
ἡ πίστις, καὶ κατήργηται[7] ἡ ἐπαγγελία· ὁ γὰρ νόμος ὀργὴν 15
κατεργάζεται·[8] οὗ[9] γὰρ οὐκ ἔστιν νόμος, οὐδὲ παράβασις.[10] Διὰ τοῦτο 16
ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν[11] τὴν ἐπαγγελίαν
παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ
πίστεως Ἀβραάμ, ὅς ἐστιν πατὴρ πάντων ἡμῶν – καθὼς γέγραπται 17
ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε – κατέναντι[12] οὗ ἐπίστευσεν
θεοῦ, τοῦ ζῳοποιοῦντος[13] τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς
ὄντα. Ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν 18
πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον, Οὕτως ἔσται τὸ σπέρμα
σου. Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησεν[14] τὸ ἑαυτοῦ σῶμα 19

[1] ἀκροβυστία, ας, ἡ, uncircumcision, foreskin. [2] σφραγίς, ῖδος, ἡ, seal, signet ring. [3] στοιχέω, walk orderly, follow. [4] ἴχνος, ους, τό, track, footprint. [5] κληρονόμος, ου, ὁ, heir, inheritor. [6] κενόω, empty, make void. [7] καταργέω, make ineffective, abolish. [8] κατεργάζομαι, work out, produce. [9] οὗ, where, when. [10] παράβασις, εως, ἡ, going aside, transgression. [11] βέβαιος, firm, secure. [12] κατέναντι, over against, opposite. [13] ζῳοποιέω, make alive, make to live. [14] κατανοέω, observe, understand.

ἤδη νενεκρωμένον[1] – ἑκατονταέτης[2] που[3] ὑπάρχων – καὶ τὴν
νέκρωσιν[4] τῆς μήτρας[5] Σάρρας:[6] εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ 20
διεκρίθη[7] τῇ ἀπιστίᾳ,[8] ἀλλ' ἐνεδυναμώθη[9] τῇ πίστει, δοὺς δόξαν τῷ
θεῷ, καὶ πληροφορηθεὶς[10] ὅτι ὃ ἐπήγγελται,[11] δυνατός ἐστιν καὶ 21
ποιῆσαι. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Οὐκ ἐγράφη δὲ δι' 22
αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ: ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει 24
λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον
ἡμῶν ἐκ νεκρῶν, ὃς παρεδόθη διὰ τὰ παραπτώματα[12] ἡμῶν, καὶ 25
ἠγέρθη διὰ τὴν δικαίωσιν[13] ἡμῶν.

Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν διὰ τοῦ **5**
κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν[14] ἐσχήκαμεν 2
τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ'
ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν 3
ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται,[15] ἡ δὲ 4
ὑπομονὴ δοκιμήν,[16] ἡ δὲ δοκιμὴ[16] ἐλπίδα: ἡ δὲ ἐλπὶς οὐ καταισχύνει,[17] 5
ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται[18] ἐν ταῖς καρδίαις ἡμῶν διὰ
πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν. Ἔτι γὰρ χριστός, ὄντων ἡμῶν 6
ἀσθενῶν,[19] κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν[20] ἀπέθανεν. Μόλις[21] γὰρ ὑπὲρ 7
δικαίου τις ἀποθανεῖται: ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα[22] τις καὶ τολμᾷ[23]

[1] νεκρόω, put to death, render weak. [2] ἑκατονταέτης, hundred years old. [3] πού, somewhere, about. [4] νέκρωσις, εως, ἡ, death, putting to death. [5] μήτρα, ας, ἡ, womb. [6] Σάρρα, ας, ἡ, Sarah. [7] διακρίνω, discriminate, judge. [8] ἀπιστία, ας, ἡ, unbelief, unfaithfulness. [9] ἐνδυναμόω, strengthen, empower. [10] πληροφορέω, fulfill, accomplish fully. [11] ἐπαγγέλλομαι, promise, profess. [12] παράπτωμα, τος, τό, trespass, falling away. [13] δικαίωσις, εως, ἡ, justification, acquittal. [14] προσαγωγή, ῆς, ἡ, access, approach. [15] κατεργάζομαι, work out, produce. [16] δοκιμή, ῆς, ἡ, proof, approval. [17] καταισχύνω, put to shame, shame. [18] ἐκχέω, pour out, shed. [19] ἀσθενής, weak, infirm. [20] ἀσεβής, ungodly, impious. [21] μόλις, with difficulty, hardly. [22] τάχα, perhaps, possibly. [23] τολμάω, dare, endure.

ἀποθανεῖν. Συνίστησιν[1] δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεός, ὅτι 8
ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. Πολλῷ 9
οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι'
αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν[2] τῷ θεῷ διὰ 10
τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες[2]
σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ: οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν 11
τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, δι' οὗ νῦν τὴν
καταλλαγὴν[3] ἐλάβομεν.

Διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον 12
εἰσῆλθεν, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας
ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον – ἄχρι γὰρ 13
νόμου ἁμαρτία ἦν ἐν κόσμῳ: ἁμαρτία δὲ οὐκ ἐλλογεῖται,[4] μὴ ὄντος
νόμου. Ἀλλ' ἐβασίλευσεν[5] ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι[6] Μωϋσέως καὶ 14
ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι[7] τῆς παραβάσεως[8]
Ἀδάμ, ὅς ἐστιν τύπος[9] τοῦ μέλλοντος. Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα,[10] 15
οὕτως καὶ τὸ χάρισμα.[11] Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι[10] οἱ
πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ[12] ἐν
χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ χριστοῦ εἰς τοὺς πολλοὺς
ἐπερίσσευσεν. Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα:[13] τὸ 16
μὲν γὰρ κρίμα[14] ἐξ ἑνὸς εἰς κατάκριμα,[15] τὸ δὲ χάρισμα[11] ἐκ πολλῶν

[1] συνίστημι, commend (transitive), stand with. [2] καταλλάσσω, reconcile. [3] καταλλαγή, ῆς, ἡ, reconciliation. [4] ἐλλογέω, charge to one's account, impute. [5] βασιλεύω, reign, rule. [6] μέχρι, until, as far as (gen). [7] ὁμοίωμα, τος, τό, likeness, form. [8] παράβασις, εως, ἡ, going aside, transgression. [9] τύπος, ου, ὁ, mark, example. [10] παράπτωμα, τος, τό, trespass, falling away. [11] χάρισμα, τος, τό, gift, undeserved favor. [12] δωρεά, ᾶς, ἡ, gift, free gift. [13] δώρημα, τος, τό, gift, present. [14] κρίμα, ος, τό, judgment, verdict. [15] κατάκριμα, τος, τό, penalty, condemnation.

παραπτωμάτων[1] εἰς δικαίωμα.[2] Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι[1] ὁ 17
θάνατος ἐβασίλευσεν[3] διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν
τῆς χάριτος καὶ τῆς δωρεᾶς[5] τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ
βασιλεύσουσιν[3] διὰ τοῦ ἑνὸς Ἰησοῦ χριστοῦ. Ἄρα οὖν ὡς δι' ἑνὸς 18
παραπτώματος[1] εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα,[6] οὕτως καὶ δι'
ἑνὸς δικαιώματος[2] εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν[7] ζωῆς. 19
Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς[8] τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ
κατεστάθησαν[9] οἱ πολλοί, οὕτως καὶ διὰ τῆς ὑπακοῆς[10] τοῦ ἑνὸς
δίκαιοι κατασταθήσονται[9] οἱ πολλοί. Νόμος δὲ παρεισῆλθεν,[11] ἵνα 20
πλεονάσῃ[12] τὸ παράπτωμα:[1] οὗ[13] δὲ ἐπλεόνασεν[12] ἡ ἁμαρτία,
ὑπερεπερίσσευσεν[14] ἡ χάρις: ἵνα ὥσπερ ἐβασίλευσεν[3] ἡ ἁμαρτία ἐν 21
τῷ θανάτῳ, οὕτως[15] καὶ ἡ χάρις βασιλεύσῃ[3] διὰ δικαιοσύνης εἰς ζωὴν
αἰώνιον, διὰ Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν.

Τί οὖν ἐροῦμεν; Ἐπιμένομεν[16] τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ;[12] Μὴ **6**
γένοιτο. Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; 3
Ἢ ἀγνοεῖτε[17] ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς χριστὸν Ἰησοῦν, εἰς τὸν
θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν[18] οὖν αὐτῷ διὰ τοῦ 4
βαπτίσματος[19] εἰς τὸν θάνατον: ἵνα ὥσπερ ἠγέρθη χριστὸς ἐκ νεκρῶν
διὰ τῆς δόξης τοῦ πατρός, οὕτως καὶ ἡμεῖς ἐν καινότητι[20] ζωῆς

[1] παράπτωμα, τος, τό, trespass, falling away. [2] δικαίωμα, τος, τό, regulation, righteous deed. [3] βασιλεύω, reign, rule. [4] περισσεία, ας, ἡ, superfluity, surplus. [5] δωρεά, ᾶς, ἡ, gift, free gift. [6] κατάκριμα, τος, τό, penalty, condemnation. [7] δικαίωσις, εως, ἡ, justification, acquittal. [8] παρακοή, ῆς, ἡ, disobedience. [9] καθίστημι, set, constitute. [10] ὑπακοή, ῆς, ἡ, obedience. [11] παρεισέρχομαι, slip in, come in. [12] πλεονάζω, superabound, make to abound. [13] οὗ, where, when. [14] ὑπερπερισσεύω, abound much more, abound exceedingly. [15] οὕτως, thus, so. [16] ἐπιμένω, continue, remain. [17] ἀγνοέω, not know, be unaware. [18] συνθάπτω, bury along with. [19] βάπτισμα, τος, τό, baptism, rite or ceremony of baptism. [20] καινότης, ητος, ἡ, newness, freshness.

περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι[1] γεγόναμεν τῷ ὁμοιώματι[2] τοῦ 5
θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα: τοῦτο 6
γινώσκοντες, ὅτι ὁ παλαιὸς[3] ἡμῶν ἄνθρωπος συνεσταυρώθη,[4] ἵνα
καταργηθῇ[5] τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι[6] δουλεύειν[7] ἡμᾶς τῇ
ἁμαρτίᾳ: ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ 7
ἀπεθάνομεν σὺν χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν[8] αὐτῷ: 9
εἰδότες ὅτι χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει: θάνατος
αὐτοῦ οὐκέτι κυριεύει.[9] Ὃ γὰρ ἀπέθανεν, τῇ ἁμαρτίᾳ ἀπέθανεν 10
ἐφάπαξ:[10] ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. Οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς 11
νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν χριστῷ Ἰησοῦ τῷ
κυρίῳ ἡμῶν.

Μὴ οὖν βασιλευέτω[11] ἡ ἁμαρτία ἐν τῷ θνητῷ[12] ὑμῶν σώματι, εἰς τὸ 12
ὑπακούειν[13] αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ: μηδὲ παριστάνετε τὰ 13
μέλη ὑμῶν ὅπλα[14] ἀδικίας[15] τῇ ἁμαρτίᾳ: ἀλλὰ παραστήσατε ἑαυτοὺς
τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα[14] δικαιοσύνης
τῷ θεῷ. Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει:[9] οὐ γάρ ἐστε ὑπὸ νόμον, 14
ἀλλ᾽ ὑπὸ χάριν.

[1] σύμφυτος, identified with, united with. [2] ὁμοίωμα, τος, τό, likeness, form. [3] παλαιός, old, ancient. [4] συσταυρόω, crucify together with. [5] καταργέω, make ineffective, abolish. [6] μηκέτι, no longer. [7] δουλεύω, serve, am a slave. [8] συζάω, live with, live together with. [9] κυριεύω, be lord over, rule. [10] ἐφάπαξ, once for all, once. [11] βασιλεύω, reign, rule. [12] θνητός, subject to death, mortal. [13] ὑπακούω, obey, listen. [14] ὅπλον, ου, τό, tool, implement. [15] ἀδικία, ας, ἡ, unrighteousness.

Τί οὖν; Ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ’ ὑπὸ χάριν; Μὴ 15
γένοιτο. Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, 16
δοῦλοί ἐστε ᾧ ὑπακούετε,[2] ἤτοι[3] ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς[1]
εἰς δικαιοσύνην; Χάρις δὲ τῷ θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, 17
ὑπηκούσατε[2] δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον[4] διδαχῆς: 18
ἐλευθερωθέντες[5] δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε[6] τῇ δικαιοσύνῃ. 19
Ἀνθρώπινον[7] λέγω διὰ τὴν ἀσθένειαν[8] τῆς σαρκὸς ὑμῶν: ὥσπερ γὰρ
παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ[9] καὶ τῇ ἀνομίᾳ[10] εἰς
τὴν ἀνομίαν,[10] οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ
δικαιοσύνῃ εἰς ἁγιασμόν.[11] Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, 20
ἐλεύθεροι[12] ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ’ οἷς 21
νῦν ἐπαισχύνεσθε;[13] Τὸ γὰρ τέλος ἐκείνων θάνατος. Νυνὶ[14] δὲ 22
ἐλευθερωθέντες[5] ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες[6] δὲ τῷ θεῷ, ἔχετε
τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν,[11] τὸ δὲ τέλος ζωὴν αἰώνιον. Τὰ γὰρ 23
ὀψώνια[15] τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα[16] τοῦ θεοῦ ζωὴ
αἰώνιος ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

Ἢ ἀγνοεῖτε,[17] ἀδελφοί – γινώσκουσιν γὰρ νόμον λαλῶ – ὅτι ὁ νόμος 7
κυριεύει[18] τοῦ ἀνθρώπου ἐφ’ ὅσον χρόνον ζῇ; Ἡ γὰρ ὕπανδρος[19] γυνὴ 2
τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ: ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται[20]

[1] ὑπακοή, ῆς, ἡ, obedience. [2] ὑπακούω, obey, listen. [3] ἤτοι, either, or of course. [4] τύπος, ου, ὁ, mark, example. [5] ἐλευθερόω, set free, exempt (from liability). [6] δουλόω, enslave, bring under subjection. [7] ἀνθρώπινος, human, belonging to human beings. [8] ἀσθένεια, ας, ἡ, weakness, sickness. [9] ἀκαθαρσία, ας, ἡ, uncleanness, impurity. [10] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [11] ἁγιασμός, οῦ, ὁ, consecration, holiness. [12] ἐλεύθερος, free, delivered from obligation. [13] ἐπαισχύνομαι, be ashamed, am ashamed. [14] νυνί, now, already. [15] ὀψώνιον, ου, τό, compensation, wages. [16] χάρισμα, τος, τό, gift, undeserved favor. [17] ἀγνοέω, not know, be unaware. [18] κυριεύω, be lord over, rule. [19] ὕπανδρος, under or subject to a man, married. [20] καταργέω, make ineffective, abolish.

ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς[1] 3
χρηματίσει,[2] ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ: ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ,
ἐλευθέρα[3] ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα,[1]
γενομένην ἀνδρὶ ἑτέρῳ. Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε[4] 4
τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ,
τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν[5] τῷ θεῷ. Ὅτε γὰρ 5
ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα[6] τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου
ἐνηργεῖτο[7] ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι[5] τῷ θανάτῳ. 6
Νυνὶ[8] δὲ κατηργήθημεν[9] ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ
κατειχόμεθα,[10] ὥστε δουλεύειν[11] ἡμᾶς ἐν καινότητι[12] πνεύματος, καὶ
οὐ παλαιότητι[13] γράμματος.[14]

Τί οὖν ἐροῦμεν; Ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο: ἀλλὰ τὴν ἁμαρτίαν 7
οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου: τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ
νόμος ἔλεγεν, Οὐκ ἐπιθυμήσεις:[15] ἀφορμὴν[16] δὲ λαβοῦσα ἡ ἁμαρτία 8
διὰ τῆς ἐντολῆς κατειργάσατο[17] ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν: χωρὶς γὰρ
νόμου ἁμαρτία νεκρά. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ: ἐλθούσης δὲ 9
τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν,[18] ἐγὼ δὲ ἀπέθανον: καὶ εὑρέθη μοι 10
ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον: ἡ γὰρ ἁμαρτία ἀφορμὴν[16] 11
λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέν[19] με, καὶ δι᾽ αὐτῆς ἀπέκτεινεν. 12

[1] μοιχαλίς, ίδος, ἡ, adulteress. [2] χρηματίζω, instruct, reveal. [3] ἐλεύθερος, free, delivered from obligation. [4] θανατόω, put to death, subdue. [5] καρποφορέω, bear fruit. [6] πάθημα, τος, τό, suffering, passion. [7] ἐνεργέω, work, effect. [8] νυνί, now, already. [9] καταργέω, make ineffective, abolish. [10] κατέχω, hold back, hold fast. [11] δουλεύω, serve, am a slave. [12] καινότης, ητος, ἡ, newness, freshness. [13] παλαιότης, ητος, ἡ, age, oldness. [14] γράμμα, τος, τό, letter, writings. [15] ἐπιθυμέω, desire, long for. [16] ἀφορμή, ῆς, ἡ, occasion, opportunity. [17] κατεργάζομαι, work out, produce. [18] ἀναζάω, live again, be resurrected. [19] ἐξαπατάω, seduce wholly, deceive.

Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. Τὸ 13
οὖν ἀγαθὸν ἐμοὶ γέγονεν θάνατος; Μὴ γένοιτο. Ἀλλὰ ἡ ἁμαρτία, ἵνα
φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη[1] θάνατον – ἵνα
γένηται καθ' ὑπερβολὴν[2] ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. 14
Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός[3] ἐστιν: ἐγὼ δὲ σαρκικός[4] εἰμι,
πεπραμένος[5] ὑπὸ τὴν ἁμαρτίαν. Ὃ γὰρ κατεργάζομαι,[1] οὐ γινώσκω: 15
οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω: ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Εἰ δὲ ὃ οὐ 16
θέλω, τοῦτο ποιῶ, σύμφημι[6] τῷ νόμῳ ὅτι καλός. Νυνὶ[7] δὲ οὐκέτι ἐγὼ 17
κατεργάζομαι[1] αὐτό, ἀλλ' ἡ οἰκοῦσα[8] ἐν ἐμοὶ ἁμαρτία. Οἶδα γὰρ ὅτι 18
οὐκ οἰκεῖ[8] ἐν ἐμοί, τοῦτ' ἔστιν ἐν τῇ σαρκί μου, ἀγαθόν: τὸ γὰρ θέλειν
παράκειταί[9] μοι, τὸ δὲ κατεργάζεσθαι[1] τὸ καλὸν οὐχ εὑρίσκω. Οὐ 19
γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν: ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. Εἰ 20
δὲ ὃ οὐ θέλω ἐγώ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι[1] αὐτό, ἀλλ' ἡ
οἰκοῦσα[8] ἐν ἐμοὶ ἁμαρτία. Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ 21
ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.[9] Συνήδομαι[10] γὰρ τῷ 22
νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω[11] ἄνθρωπον: βλέπω δὲ ἕτερον νόμον ἐν 23
τοῖς μέλεσίν μου ἀντιστρατευόμενον[12] τῷ νόμῳ τοῦ νοός[13] μου, καὶ
αἰχμαλωτίζοντά[14] με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσίν
μου. Ταλαίπωρος[15] ἐγὼ ἄνθρωπος: τίς με ῥύσεται[16] ἐκ τοῦ σώματος 24
τοῦ θανάτου τούτου; Εὐχαριστῶ τῷ θεῷ διὰ Ἰησοῦ χριστοῦ τοῦ 25

[1] κατεργάζομαι, work out, produce. [2] ὑπερβολή, ῆς, ἡ, excess, superiority. [3] πνευματικός, spiritual. [4] σαρκικός, fleshly, carnal. [5] πιπράσκω, sell. [6] σύμφημι, concur, agree with. [7] νυνί, now, already. [8] οἰκέω, inhabit, dwell. [9] παράκειμαι, be present, at hand. [10] συνήδομαι, delight in, rejoice together. [11] ἔσω, within, inside. [12] ἀντιστρατεύω, make war against. [13] νοῦς, ὁ, mind, reasoning faculty. [14] αἰχμαλωτίζω, take or lead captive, take captive. [15] ταλαίπωρος, miserable, wretched. [16] ῥύομαι, rescue, save.

κυρίου ἡμῶν. Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοΐ[1] δουλεύω[2] νόμῳ θεοῦ,
τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.

Οὐδὲν ἄρα νῦν κατάκριμα[3] τοῖς ἐν χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα **8**
περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς 2
ζωῆς ἐν χριστῷ Ἰησοῦ ἠλευθέρωσέν[4] με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας
καὶ τοῦ θανάτου. Τὸ γὰρ ἀδύνατον[5] τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς 3
σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι[6] σαρκὸς
ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινεν[7] τὴν ἁμαρτίαν ἐν τῇ σαρκί: 4
ἵνα τὸ δικαίωμα[8] τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα
περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς 5
σαρκὸς φρονοῦσιν:[9] οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος. Τὸ γὰρ 6
φρόνημα[10] τῆς σαρκὸς θάνατος: τὸ δὲ φρόνημα[10] τοῦ πνεύματος ζωὴ
καὶ εἰρήνη: διότι[11] τὸ φρόνημα[10] τῆς σαρκὸς ἔχθρα[12] εἰς θεόν, τῷ γὰρ 7
νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται: οἱ δὲ ἐν σαρκὶ 8
ὄντες θεῷ ἀρέσαι[13] οὐ δύνανται. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλʼ ἐν 9
πνεύματι, εἴπερ[14] πνεῦμα θεοῦ οἰκεῖ[15] ἐν ὑμῖν. Εἰ δέ τις πνεῦμα
χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ χριστὸς ἐν ὑμῖν, τὸ 10
μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. 11
Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ[15] ἐν ὑμῖν, ὁ
ἐγείρας τὸν χριστὸν ἐκ νεκρῶν ζῳοποιήσει[16] καὶ τὰ θνητὰ[17] σώματα

[1] νοῦς, ὁ, mind, reasoning faculty. [2] δουλεύω, serve, am a slave. [3] κατάκριμα, τος, τό, penalty, condemnation. [4] ἐλευθερόω, set free, exempt (from liability). [5] ἀδύνατος, impossible, unable. [6] ὁμοίωμα, τος, τό, likeness, form. [7] κατακρίνω, condemn. [8] δικαίωμα, τος, τό, regulation, righteous deed. [9] φρονέω, think, judge. [10] φρόνημα, τος, τό, mind set, way of thinking. [11] διότι, because, on this account. [12] ἔχθρα, ας, ἡ, enmity, hostility. [13] ἀρέσκω, please, serve. [14] εἴπερ, if perhaps, if indeed. [15] οἰκέω, inhabit, dwell. [16] ζῳοποιέω, make alive, make to live. [17] θνητός, subject to death, mortal.

ὑμῶν, διὰ τὸ ἐνοικοῦν[1] αὐτοῦ πνεῦμα ἐν ὑμῖν.

Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται[2] ἐσμέν, οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν: 12
εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνῄσκειν: εἰ δὲ πνεύματι τὰς
πράξεις[3] τοῦ σώματος θανατοῦτε,[4] ζήσεσθε. Ὅσοι γὰρ πνεύματι θεοῦ 14
ἄγονται, οὗτοί εἰσιν υἱοὶ θεοῦ. Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας[5] 15
πάλιν εἰς φόβον, ἀλλʼ ἐλάβετε πνεῦμα υἱοθεσίας,[6] ἐν ᾧ κράζομεν,
Ἀββᾶ, ὁ πατήρ. Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ[7] τῷ πνεύματι ἡμῶν, 16
ὅτι ἐσμὲν τέκνα θεοῦ: εἰ δὲ τέκνα, καὶ κληρονόμοι:[8] κληρονόμοι[8] μὲν 17
θεοῦ, συγκληρονόμοι[9] δὲ χριστοῦ: εἴπερ[10] συμπάσχομεν,[11] ἵνα καὶ
συνδοξασθῶμεν.[12]

Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα[13] τοῦ νῦν καιροῦ πρὸς τὴν 18
μέλλουσαν δόξαν ἀποκαλυφθῆναι[14] εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία[15] 19
τῆς κτίσεως[16] τὴν ἀποκάλυψιν[17] τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται.[18] 20
Τῇ γὰρ ματαιότητι[19] ἡ κτίσις[16] ὑπετάγη, οὐχ ἑκοῦσα,[20] ἀλλὰ διὰ τὸν
ὑποτάξαντα, ἐπʼ ἐλπίδι: ὅτι καὶ αὐτὴ ἡ κτίσις[16] ἐλευθερωθήσεται[21] 21
ἀπὸ τῆς δουλείας[5] τῆς φθορᾶς[22] εἰς τὴν ἐλευθερίαν[23] τῆς δόξης τῶν
τέκνων τοῦ θεοῦ. Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις[16] συστενάζει[24] καὶ 22
συνωδίνει[25] ἄχρι τοῦ νῦν. Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν 23

[1] ἐνοικέω, dwell in, am settled in. [2] ὀφειλέτης, ου, ὁ, debtor, sinner. [3] πρᾶξις, εως, ἡ, deed, function. [4] θανατόω, put to death, subdue. [5] δουλεία, ας, ἡ, slavery, bondage. [6] υἱοθεσία, ας, ἡ, adoption. [7] συμμαρτυρέω, bear witness with, confirm. [8] κληρονόμος, ου, ὁ, heir, inheritor. [9] συγκληρονόμος, fellow heir, joint heir. [10] εἴπερ, if perhaps, if indeed. [11] συμπάσχω, suffer with, suffer together with. [12] συνδοξάζω, glorify together with. [13] πάθημα, τος, τό, suffering, passion. [14] ἀποκαλύπτω, reveal, uncover. [15] ἀποκαραδοκία, ας, ἡ, eager expectation. [16] κτίσις, εως, ἡ, creation, creature. [17] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [18] ἀπεκδέχομαι, await eagerly, expect eagerly. [19] ματαιότης, ητος, ἡ, vanity, emptiness. [20] ἑκών, of one's own free will, voluntarily. [21] ἐλευθερόω, set free, exempt (from liability). [22] φθορά, ᾶς, ἡ, destruction, corruption. [23] ἐλευθερία, ας, ἡ, liberty, freedom. [24] συστενάζω, lament, groan together. [25] συνωδίνω, suffer agony together. [26] ἀπαρχή, ῆς, ἡ, first fruit.

τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν,[1]
υἱοθεσίαν[2] ἀπεκδεχόμενοι,[3] τὴν ἀπολύτρωσιν[4] τοῦ σώματος ἡμῶν. 24
Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ
βλέπει τις, τί καὶ ἐλπίζει; Εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι᾽ 25
ὑπομονῆς ἀπεκδεχόμεθα.[3]

Ὡσαύτως[5] δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται[6] ταῖς ἀσθενείαις[7] ἡμῶν· 26
τὸ γὰρ τί προσευξόμεθα καθὸ[8] δεῖ, οὐκ οἴδαμεν, ἀλλ᾽ αὐτὸ τὸ
πνεῦμα ὑπερεντυγχάνει[9] ὑπὲρ ἡμῶν στεναγμοῖς[10] ἀλαλήτοις·[11] ὁ δὲ 27
ἐρευνῶν[12] τὰς καρδίας οἶδεν τί τὸ φρόνημα[13] τοῦ πνεύματος, ὅτι κατὰ
θεὸν ἐντυγχάνει[14] ὑπὲρ ἁγίων. Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσιν τὸν 28
θεὸν πάντα συνεργεῖ[15] εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν[16] κλητοῖς[17]
οὖσιν. Ὅτι οὓς προέγνω,[18] καὶ προώρισεν[19] συμμόρφους[20] τῆς εἰκόνος 29
τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον[22] ἐν πολλοῖς ἀδελφοῖς·
οὓς δὲ προώρισεν,[19] τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, 30
τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν; Ὅς γε 31
τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο,[24] ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν
αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;[25] Τίς 33

[1] στενάζω, groan (internally), sigh deeply. [2] υἱοθεσία, ας, ἡ, adoption. [3] ἀπεκδέχομαι, await eagerly, expect eagerly. [4] ἀπολύτρωσις, εως, ἡ, redemption, deliverance. [5] ὡσαύτως, likewise. [6] συναντιλαμβάνομαι, help, assist. [7] ἀσθένεια, ας, ἡ, weakness, sickness. [8] καθό, in so far as, as. [9] ὑπερεντυγχάνω, plead, intercede. [10] στεναγμός, οῦ, ὁ, groan, groaning. [11] ἀλάλητος, inexpressible, unutterable. [12] ἐρευνάω, search diligently. [13] φρόνημα, τος, τό, mind set, way of thinking. [14] ἐντυγχάνω, entreat, intercede. [15] συνεργέω, work together. [16] πρόθεσις, εως, ἡ, setting forth, purpose. [17] κλητός, called, summoned. [18] προγινώσκω, know beforehand. [19] προορίζω, predetermine, foreordain. [20] σύμμορφος, similar in form, similar. [21] εἰκών, όνος, ἡ, image, likeness. [22] πρωτότοκος, first-born. [23] γέ, indeed, at least. [24] φείδομαι, spare, abstain. [25] χαρίζομαι, give freely, forgive.

ἐγκαλέσει[1] κατὰ ἐκλεκτῶν[2] θεοῦ; Θεὸς ὁ δικαιῶν: τίς ὁ κατακρίνων;[3] 34
Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ
τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει[4] ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει[5] ἀπὸ τῆς 35
ἀγάπης τοῦ χριστοῦ; Θλίψις, ἢ στενοχωρία,[6] ἢ διωγμός,[7] ἢ λιμός,[8] ἢ
γυμνότης,[9] ἢ κίνδυνος,[10] ἢ μάχαιρα;[11] Καθὼς γέγραπται ὅτι Ἕνεκέν[12] 36
σου θανατούμεθα[13] ὅλην τὴν ἡμέραν: ἐλογίσθημεν ὡς πρόβατα
σφαγῆς.[14] Ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν[15] διὰ τοῦ 37
ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε 38
ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα[16] οὔτε μέλλοντα 39
οὔτε ὕψωμα[17] οὔτε βάθος[18] οὔτε τις κτίσις[19] ἑτέρα δυνήσεται ἡμᾶς
χωρίσαι[5] ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ
ἡμῶν.

Ἀλήθειαν λέγω ἐν χριστῷ, οὐ ψεύδομαι,[20] συμμαρτυρούσης[21] μοι τῆς **9**
συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ, ὅτι λύπη[22] μοί ἐστὶν μεγάλη, καὶ 2
ἀδιάλειπτος[23] ὀδύνη[24] τῇ καρδίᾳ μου. Εὐχόμην[25] γὰρ αὐτὸς ἐγὼ 3
ἀνάθεμα[26] εἶναι ἀπὸ τοῦ χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν
συγγενῶν[27] μου κατὰ σάρκα: οἵτινές εἰσιν Ἰσραηλῖται,[28] ὧν ἡ 4
υἱοθεσία[29] καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία[30] καὶ ἡ λατρεία
καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ χριστὸς τὸ κατὰ σάρκα, 5

[1] ἐγκαλέω, accuse, bring a charge. [2] ἐκλεκτός, chosen, elect. [3] κατακρίνω, condemn. [4] ἐντυγχάνω, entreat, intercede. [5] χωρίζω, separate, depart. [6] στενοχωρία, ας, ἡ, difficulty, distress. [7] διωγμός, οῦ, ὁ, persecution. [8] λιμός, οῦ, ὁ, hunger, famine. [9] γυμνότης, ητος, ἡ, nakedness, exposure. [10] κίνδυνος, ου, ὁ, danger, peril. [11] μάχαιρα, ης, ἡ, sword. [12] ἕνεκεν, for the sake of, on account of. [13] θανατόω, put to death, subdue. [14] σφαγή, ῆς, ἡ, slaughter, sacrifice. [15] ὑπερνικάω, prevail completely. [16] ἐνίστημι, be present, place in or upon. [17] ὕψωμα, τος, τό, height, lofty thing. [18] βάθος, ους, τό, depth, deep. [19] κτίσις, εως, ἡ, creation, creature. [20] ψεύδομαι, lie. [21] συμμαρτυρέω, bear witness with, confirm. [22] λύπη, ης, ἡ, pain, grief. [23] ἀδιάλειπτος, unceasing, constant. [24] ὀδύνη, ης, ἡ, pain, grief. [25] εὔχομαι, pray, wish. [26] ἀνάθεμα, τος, τό, accursed, curse. [27] συγγενής, kindred, relative. [28] Ἰσραηλίτης, ου, ὁ, Israelite. [29] υἱοθεσία, ας, ἡ, adoption. [30] νομοθεσία, ας, ἡ, legislation, law. [31] λατρεία, ας, ἡ, service, divine worship.

ὁ ὢν ἐπὶ πάντων, θεὸς εὐλογητὸς[1] εἰς τοὺς αἰῶνας. Ἀμήν. Οὐχ οἷον[2] 6
δὲ ὅτι ἐκπέπτωκεν[3] ὁ λόγος τοῦ θεοῦ. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ,
οὗτοι Ἰσραήλ: οὐδ’ ὅτι εἰσὶν σπέρμα Ἀβραάμ, πάντες τέκνα: ἀλλ’ 7
Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. Τοῦτ’ ἔστιν, οὐ τὰ τέκνα τῆς 8
σαρκός, ταῦτα τέκνα τοῦ θεοῦ: ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας
λογίζεται εἰς σπέρμα. Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος, Κατὰ τὸν 9
καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ[4] υἱός. Οὐ μόνον δέ, 10
ἀλλὰ καὶ Ῥεβέκκα[5] ἐξ ἑνὸς κοίτην[6] ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν
– μήπω[7] γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα 11
ἡ κατ’ ἐκλογὴν[8] πρόθεσις[9] τοῦ θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ’ ἐκ τοῦ
καλοῦντος, ἐρρήθη αὐτῇ ὅτι Ὁ μείζων δουλεύσει[10] τῷ ἐλάσσονι.[11] 12
Καθὼς γέγραπται, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα.

Τί οὖν ἐροῦμεν; Μὴ ἀδικία[12] παρὰ τῷ θεῷ; Μὴ γένοιτο. Τῷ γὰρ 14
Μωϋσῇ λέγει, Ἐλεήσω[13] ὃν ἂν ἐλεῶ,[13] καὶ οἰκτειρήσω[14] ὃν ἂν
οἰκτείρω.[14] Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος,[15] ἀλλὰ τοῦ 16
ἐλεοῦντος[13] θεοῦ. Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ[16] ὅτι Εἰς αὐτὸ τοῦτο 17
ἐξήγειρά[17] σε, ὅπως ἐνδείξωμαι[18] ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως
διαγγελῇ[19] τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. Ἄρα οὖν ὃν θέλει ἐλεεῖ:[13] ὃν 18
δὲ θέλει σκληρύνει.[20]

[1] εὐλογητός, well spoken of, blessed. [2] οἷος, such as, of what kind. [3] ἐκπίπτω, fall away, fall out. [4] Σάρρα, ας, ἡ, Sarah. [5] Ῥεβέκκα, ας, ἡ, Rebecca. [6] κοίτη, ης, ἡ, bed, sexual promiscuity. [7] μήπω, not yet. [8] ἐκλογή, ῆς, ἡ, (divine) selection, choice. [9] πρόθεσις, εως, ἡ, setting forth, purpose. [10] δουλεύω, serve, am a slave. [11] ἐλάσσων, lesser, less. [12] ἀδικία, ας, ἡ, unrighteousness. [13] ἐλεέω, have mercy, pity. [14] οἰκτείρω, pity, have compassion on. [15] τρέχω, run, exercise myself. [16] Φαραώ, ὁ, Pharaoh. [17] ἐξεγείρω, raise, raise up. [18] ἐνδείκνυμι, show forth, show. [19] διαγγέλλω, publish abroad, proclaim. [20] σκληρύνω, harden.

Ἐρεῖς οὖν μοι, Τί ἔτι μέμφεται;[1] Τῷ γὰρ βουλήματι[2] αὐτοῦ τίς 19
ἀνθέστηκεν;[3] Μενοῦνγε,[4] ὦ[5] ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος[6] 20
τῷ θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα[7] τῷ πλάσαντι,[8] Τί με ἐποίησας οὕτως; 21
Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς[9] τοῦ πηλοῦ,[10] ἐκ τοῦ αὐτοῦ
φυράματος[11] ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος,[12] ὃ δὲ εἰς ἀτιμίαν;[13] Εἰ δὲ 22
θέλων ὁ θεὸς ἐνδείξασθαι[14] τὴν ὀργήν, καὶ γνωρίσαι[15] τὸ δυνατὸν
αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ[16] σκεύη[12] ὀργῆς κατηρτισμένα
εἰς ἀπώλειαν:[18] καὶ ἵνα γνωρίσῃ[15] τὸν πλοῦτον[19] τῆς δόξης αὐτοῦ ἐπὶ 23
σκεύη[12] ἐλέους,[20] ἃ προητοίμασεν[21] εἰς δόξαν, οὓς καὶ ἐκάλεσεν ἡμᾶς 24
οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν; Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει, 25
Καλέσω τὸν οὐ λαόν μου λαόν μου: καὶ τὴν οὐκ ἠγαπημένην
ἠγαπημένην. Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ[22] ἐρρήθη αὐτοῖς, Οὐ λαός 26
μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος. Ἠσαΐας[23] δὲ κράζει 27
ὑπὲρ τοῦ Ἰσραήλ, Ἐὰν ᾖ ὁ ἀριθμὸς[24] τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος[25]
τῆς θαλάσσης, τὸ κατάλειμμα[26] σωθήσεται: λόγον γὰρ συντελῶν[27] 28
καὶ συντέμνων[28] ἐν δικαιοσύνῃ: ὅτι λόγον συντετμημένον[28] ποιήσει
κύριος ἐπὶ τῆς γῆς. Καὶ καθὼς προείρηκεν[29] Ἠσαΐας,[23] Εἰ μὴ κύριος 29
Σαβαὼθ[30] ἐγκατέλιπεν[31] ἡμῖν σπέρμα, ὡς Σόδομα[32] ἂν ἐγενήθημεν,
καὶ ὡς Γόμορρα[33] ἂν ὡμοιώθημεν.[34]

[1] μέμφομαι, find fault with, blame. [2] βούλημα, τος, τό, purpose, will. [3] ἀνθίστημι, resist, oppose. [4] μενοῦνγε, on the contrary, indeed. [5] ὦ, Oh! omega. [6] ἀνταποκρίνομαι, answer again, contradict. [7] πλάσμα, τος, τό, image, figure. [8] πλάσσω, form, mold. [9] κεραμεύς, έως, ὁ, potter. [10] πηλός, οῦ, ὁ, clay, mud. [11] φύραμα, τος, τό, that which is mixed, lump. [12] σκεῦος, ους, τό, vessel, goods (plural). [13] ἀτιμία, ας, ἡ, dishonor, disgrace. [14] ἐνδείκνυμι, show forth, show. [15] γνωρίζω, make known, declare. [16] μακροθυμία, ας, ἡ, long-suffering, patience. [17] καταρτίζω, mend, fit. [18] ἀπώλεια, ας, ἡ, destruction, ruin. [19] πλοῦτος, ου, ὁ, wealth, riches. [20] ἔλεος, ους, ὁ, pity, mercy. [21] προετοιμάζω, prepare beforehand, predestine. [22] οὗ, where, when. [23] Ἠσαΐας, ου, ὁ, Isaiah. [24] ἀριθμός, οῦ, ὁ, number, total. [25] ἄμμος, ου, ἡ, sand. [26] κατάλειμμα, ατος, τό, remnant, small residue. [27] συντελέω, complete, accomplish. [28] συντέμνω, cut short, shorten. [29] προλέγω, say beforehand, forewarn. [30] σαβαώθ, hosts, armies. [31] ἐγκαταλείπω, leave behind, forsake. [32] Σόδομα, ων, τό, Sodom. [33] Γόμορρα, ας, ἡ, Gomorrah. [34] ὁμοιόω, make like, liken.

Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβεν[1] 30
δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· Ἰσραὴλ δέ, διώκων 31
νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν.[2] Διὰ τί; Ὅτι 32
οὐκ ἐκ πίστεως, ἀλλʼ ὡς ἐξ ἔργων νόμου· προσέκοψαν[3] γὰρ τῷ λίθῳ
τοῦ προσκόμματος,[4] καθὼς γέγραπται, Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον 33
προσκόμματος[4] καὶ πέτραν[5] σκανδάλου·[6] καὶ πᾶς ὁ πιστεύων ἐπʼ
αὐτῷ οὐ καταισχυνθήσεται.[7]

Ἀδελφοί, ἡ μὲν εὐδοκία[8] τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις[9] ἡ πρὸς τὸν θεὸν **10**
ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν. Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι 2
ζῆλον[10] θεοῦ ἔχουσιν, ἀλλʼ οὐ κατʼ ἐπίγνωσιν.[11] Ἀγνοοῦντες[12] γὰρ τὴν 3
τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι,
τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου χριστὸς 4
εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. Μωϋσῆς γὰρ γράφει τὴν 5
δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται
ἐν αὐτοῖς. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει, Μὴ εἴπῃς ἐν τῇ 6
καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;– τοῦτʼ ἔστιν χριστὸν
καταγαγεῖν[13] – ἤ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον;[14]– τοῦτʼ ἔστιν 7
χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.[15] Ἀλλὰ τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά 8
ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τοῦτʼ ἔστιν τὸ ῥῆμα

[1] καταλαμβάνω, overtake, apprehend. [2] φθάνω, come before another, anticipate. [3] προσκόπτω, strike against, stumble. [4] πρόσκομμα, τος, τό, stumbling, occasion of stumbling. [5] πέτρα, ας, ἡ, rock. [6] σκάνδαλον, ου, τό, cause of stumbling, snare. [7] καταισχύνω, put to shame, shame. [8] εὐδοκία, ας, ἡ, good pleasure, good-will. [9] δέησις, εως, ἡ, entreaty, prayer. [10] ζῆλος, ου, ὁ, zeal, jealousy. [11] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [12] ἀγνοέω, not know, be unaware. [13] κατάγω, bring down, lead down. [14] ἄβυσσος, ου, ἡ, bottomless, incomprehensible depth. [15] ἀνάγω, lead up, restore.

τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς[1] ἐν τῷ στόματί σου 9
κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν
ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, 10
στόματι δὲ ὁμολογεῖται[1] εἰς σωτηρίαν. Λέγει γὰρ ἡ γραφή, Πᾶς ὁ 11
πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται.[2] Οὐ γάρ ἐστιν διαστολὴ[3] 12
Ἰουδαίου τε καὶ Ἕλληνος·[4] ὁ γὰρ αὐτὸς κύριος πάντων, πλουτῶν[5] εἰς
πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ 13
ὄνομα κυρίου σωθήσεται. Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ 14
ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ
ἀκούσουσιν χωρὶς κηρύσσοντος; Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ 15
ἀποσταλῶσιν; Καθὼς γέγραπται, Ὡς ὡραῖοι[6] οἱ πόδες τῶν
εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

Ἀλλ' οὐ πάντες ὑπήκουσαν[7] τῷ εὐαγγελίῳ. Ἠσαΐας[8] γὰρ λέγει, Κύριε, 16
τίς ἐπίστευσεν τῇ ἀκοῇ[9] ἡμῶν; Ἄρα ἡ πίστις ἐξ ἀκοῆς,[9] ἡ δὲ ἀκοὴ[9] διὰ 17
ῥήματος θεοῦ. Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε·[10] Εἰς πᾶσαν 18
τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος[11] αὐτῶν, καὶ εἰς τὰ πέρατα[12] τῆς
οἰκουμένης[13] τὰ ῥήματα αὐτῶν. Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; 19
Πρῶτος Μωϋσῆς λέγει, Ἐγὼ παραζηλώσω[14] ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ
ἔθνει ἀσυνέτῳ[15] παροργιῶ[16] ὑμᾶς. Ἠσαΐας[8] δὲ ἀποτολμᾷ[17] καὶ λέγει, 20

[1] ὁμολογέω, confess, profess. [2] καταισχύνω, put to shame, shame. [3] διαστολή, ῆς, ἡ, difference, distinction. [4] Ἕλλην, ηνος, ὁ, Greek, Hellene. [5] πλουτέω, be rich, become rich. [6] ὡραῖος, beautiful, fair. [7] ὑπακούω, obey, listen. [8] Ἠσαΐας, ου, ὁ, Isaiah. [9] ἀκοή, ῆς, ἡ, hearing, report. [10] μενοῦνγε, on the contrary, indeed. [11] φθόγγος, ου, ὁ, tone, voice. [12] πέρας, ατος, τό, limit, end. [13] οἰκουμένη, ης, ἡ, inhabited world. [14] παραζηλόω, provoke to jealousy, make jealous. [15] ἀσύνετος, without understanding, unintelligent. [16] παροργίζω, provoke to anger, exasperate. [17] ἀποτολμάω, be bold, assume boldness.

Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς[1] ἐγενόμην τοῖς ἐμὲ μὴ
ἐπερωτῶσιν. Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, Ὅλην τὴν ἡμέραν 21
ἐξεπέτασα[2] τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα[3] καὶ ἀντιλέγοντα.[4]

Λέγω οὖν, μὴ ἀπώσατο[5] ὁ θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο. Καὶ γὰρ **11**
ἐγὼ Ἰσραηλίτης[6] εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν.[7] Οὐκ 2
ἀπώσατο[5] ὁ θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω.[8] Ἢ οὐκ οἴδατε ἐν
Ἠλίᾳ[9] τί λέγει ἡ γραφή; Ὡς ἐντυγχάνει[10] τῷ θεῷ κατὰ τοῦ Ἰσραήλ,
λέγων, Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά[11] 3
σου κατέσκαψαν:[12] κἀγὼ ὑπελείφθην[13] μόνος, καὶ ζητοῦσιν τὴν
ψυχήν μου. Ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός;[14] Κατέλιπον[15] 4
ἐμαυτῷ ἑπτακισχιλίους[16] ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν[17] γόνυ[18] τῇ
Βάαλ.[19] Οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα[20] κατ' ἐκλογὴν[21] 5
χάριτος γέγονεν. Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων: ἐπεὶ[22] ἡ χάρις οὐκέτι 6
γίνεται χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶν χάρις: ἐπεὶ[22] τὸ ἔργον
οὐκέτι ἐστὶν ἔργον. Τί οὖν; Ὃ ἐπιζητεῖ[23] Ἰσραήλ, τοῦτο οὐκ 7
ἐπέτυχεν,[24] ἡ δὲ ἐκλογὴ[21] ἐπέτυχεν,[24] οἱ δὲ λοιποὶ ἐπωρώθησαν:[25] 8
καθὼς γέγραπται, Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως,[26]
ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς
σήμερον ἡμέρας. Καὶ Δαυὶδ λέγει, Γενηθήτω ἡ τράπεζα[27] αὐτῶν εἰς 9

[1] ἐμφανής, visible, manifest. [2] ἐκπετάννυμι, spread out, stretch out. [3] ἀπειθέω, disbelieve, disobey. [4] ἀντιλέγω, speak against, oppose. [5] ἀπωθέω, push or thrust away, reject. [6] Ἰσραηλίτης, ου, ὁ, Israelite. [7] Βενιαμίν, ὁ, Benjamin. [8] προγινώσκω, know beforehand. [9] Ἠλίας, ου, ὁ, Elijah. [10] ἐντυγχάνω, entreat, intercede. [11] θυσιαστήριον, ου, τό, altar. [12] κατασκάπτω, tear down, demolish. [13] ὑπολείπω, leave remaining, leave behind. [14] χρηματισμός, οῦ, ὁ, divine response, oracle. [15] καταλείπω, leave, leave behind. [16] ἑπτακισχίλιοι, seven thousand, 7000. [17] κάμπτω, bend, bow. [18] γόνυ, ατος, τό, knee. [19] Βάαλ, ὁ, Baal. [20] λεῖμμα, τος, τό, remnant, remainder. [21] ἐκλογή, ῆς, ἡ, (divine) selection, choice. [22] ἐπεί, when, since. [23] ἐπιζητέω, seek for, seek after. [24] ἐπιτυγχάνω, obtain, attain. [25] πωρόω, harden, render callous. [26] κατάνυξις, εως, ἡ, stupefaction, deep sleep. [27] τράπεζα, ης, ἡ, table.

παγίδα[1] καὶ εἰς θήραν,[2] καὶ εἰς σκάνδαλον,[3] καὶ εἰς ἀνταπόδομα[4]
αὐτοῖς: σκοτισθήτωσαν[5] οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν 10
νῶτον[6] αὐτῶν διὰ παντὸς σύγκαμψον.[7] Λέγω οὖν, μὴ ἔπταισαν[8] ἵνα 11
πέσωσιν; Μὴ γένοιτο: ἀλλὰ τῷ αὐτῶν παραπτώματι[9] ἡ σωτηρία τοῖς
ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι[10] αὐτούς. Εἰ δὲ τὸ παράπτωμα[9] αὐτῶν 12
πλοῦτος[11] κόσμου, καὶ τὸ ἥττημα[12] αὐτῶν πλοῦτος[11] ἐθνῶν, πόσῳ[13]
μᾶλλον τὸ πλήρωμα[14] αὐτῶν;

Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν. Ἐφ᾽ ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, 13
τὴν διακονίαν μου δοξάζω: εἴ πως παραζηλώσω[10] μου τὴν σάρκα, καὶ 14
σώσω τινὰς ἐξ αὐτῶν. Εἰ γὰρ ἡ ἀποβολὴ[15] αὐτῶν καταλλαγὴ[16] 15
κόσμου, τίς ἡ πρόσληψις,[17] εἰ μὴ ζωὴ ἐκ νεκρῶν; Εἰ δὲ ἡ ἀπαρχὴ[18] 16
ἁγία, καὶ τὸ φύραμα:[19] καὶ εἰ ἡ ῥίζα[20] ἁγία, καὶ οἱ κλάδοι.[21] Εἰ δέ τινες 17
τῶν κλάδων[21] ἐξεκλάσθησαν,[22] σὺ δὲ ἀγριέλαιος[23] ὢν ἐνεκεντρίσθης[24]
ἐν αὐτοῖς, καὶ συγκοινωνὸς[25] τῆς ῥίζης[20] καὶ τῆς πιότητος[26] τῆς ἐλαίας
ἐγένου, μὴ κατακαυχῶ[28] τῶν κλάδων:[21] εἰ δὲ κατακαυχᾶσαι,[28] οὐ σὺ 18
τὴν ῥίζαν[20] βαστάζεις,[29] ἀλλ᾽ ἡ ῥίζα[20] σέ. Ἐρεῖς οὖν, Ἐξεκλάσθησαν[22] 19
κλάδοι,[21] ἵνα ἐγὼ ἐγκεντρισθῶ.[24] Καλῶς: τῇ ἀπιστίᾳ[30] ἐξεκλάσθησαν, 20
σὺ δὲ τῇ πίστει ἕστηκας. Μὴ ὑψηλοφρόνει,[31] ἀλλὰ φοβοῦ: εἰ γὰρ ὁ 21

[1] παγίς, ίδος, ἡ, trap, snare. [2] θήρα, ας, ἡ, net, trap. [3] σκάνδαλον, ου, τό, cause of stumbling, snare. [4] ἀνταπόδομα, τος, τό, repayment, reward. [5] σκοτίζω, darken. [6] νῶτος, ου, ὁ, back, back of men or animals. [7] συγκάμπτω, (cause to) bend, bend together. [8] πταίω, cause to stumble, stumble. [9] παράπτωμα, τος, τό, trespass, falling away. [10] παραζηλόω, provoke to jealousy, make jealous. [11] πλοῦτος, ου, ὁ, wealth, riches. [12] ἥττημα, τος, τό, loss, failure. [13] πόσος, how many? how great? [14] πλήρωμα, τος, τό, fullness, fulfillment. [15] ἀποβολή, ῆς, ἡ, rejection, loss. [16] καταλλαγή, ῆς, ἡ, reconciliation. [17] πρόσληψις, εως, ἡ, receiving. [18] ἀπαρχή, ῆς, ἡ, first fruit. [19] φύραμα, τος, τό, that which is mixed, lump. [20] ῥίζα, ης, ἡ, root, that which grows from the root. [21] κλάδος, ου, ὁ, branch (of a tree), branch. [22] ἐκκλάω, break off. [23] ἀγριέλαιος, ου, ἡ, wild olive tree. [24] ἐγκεντρίζω, ingraft, graft in. [25] συγκοινωνός, οῦ, ὁ, partaker, participant. [26] πιότης, ητος, ἡ, fatness. [27] ἐλαία, ας, ἡ, olive tree. [28] κατακαυχάομαι, exult over, triumph over. [29] βαστάζω, bear, carry. [30] ἀπιστία, ας, ἡ, unbelief, unfaithfulness. [31] ὑψηλοφρονέω, be proud, haughty.

θεὸς τῶν κατὰ φύσιν[1] κλάδων[2] οὐκ ἐφείσατο,[3] μήπως[4] οὐδέ σου
φείσεται.[3] Ἴδε οὖν χρηστότητα[5] καὶ ἀποτομίαν[6] θεοῦ: ἐπὶ μὲν τοὺς 22
πεσόντας, ἀποτομίαν:[6] ἐπὶ δὲ σέ, χρηστότητα,[5] ἐὰν ἐπιμείνῃς[7] τῇ
χρηστότητι:[5] ἐπεὶ[8] καὶ σὺ ἐκκοπήσῃ.[9] Καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ 23
ἐπιμείνωσιν[7] τῇ ἀπιστίᾳ,[10] ἐγκεντρισθήσονται:[11] δυνατὸς γὰρ ὁ θεός
ἐστιν πάλιν ἐγκεντρίσαι[11] αὐτούς. Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν[1] 24
ἐξεκόπης[9] ἀγριελαίου,[12] καὶ παρὰ φύσιν[1] ἐνεκεντρίσθης[11] εἰς
καλλιέλαιον,[13] πόσῳ[14] μᾶλλον οὗτοι, οἱ κατὰ φύσιν,[1]
ἐγκεντρισθήσονται[11] τῇ ἰδίᾳ ἐλαίᾳ;[15]

Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν,[16] ἀδελφοί, τὸ μυστήριον[17] τοῦτο, ἵνα μὴ ἦτε 25
παρ' ἑαυτοῖς φρόνιμοι,[18] ὅτι πώρωσις[19] ἀπὸ μέρους τῷ Ἰσραὴλ
γέγονεν, ἄχρι οὗ τὸ πλήρωμα[20] τῶν ἐθνῶν εἰσέλθῃ: καὶ οὕτως[21] πᾶς 26
Ἰσραὴλ σωθήσεται: καθὼς γέγραπται, Ἥξει[22] ἐκ Σιὼν ὁ ῥυόμενος,[23]
καὶ ἀποστρέψει[24] ἀσεβείας[25] ἀπὸ Ἰακώβ: καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ 27
διαθήκη, ὅταν ἀφέλωμαι[26] τὰς ἁμαρτίας αὐτῶν. Κατὰ μὲν τὸ 28
εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς: κατὰ δὲ τὴν ἐκλογήν,[27] ἀγαπητοὶ διὰ
τοὺς πατέρας. Ἀμεταμέλητα[28] γὰρ τὰ χαρίσματα[29] καὶ ἡ κλῆσις[30] τοῦ 29
θεοῦ. Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτὲ ἠπειθήσατε[31] τῷ θεῷ, νῦν δὲ 30

[1] φύσις, εως, ἡ, nature, inherent nature. [2] κλάδος, ου, ὁ, branch (of a tree), branch. [3] φείδομαι, spare, abstain. [4] μήπως, lest in any way, lest perhaps. [5] χρηστότης, ητος, ἡ, goodness, kindness. [6] ἀποτομία, ας, ἡ, severity, harshness. [7] ἐπιμένω, continue, remain. [8] ἐπεί, when, since. [9] ἐκκόπτω, cut out, cut off. [10] ἀπιστία, ας, ἡ, unbelief, unfaithfulness. [11] ἐγκεντρίζω, ingraft, graft in. [12] ἀγριέλαιος, ου, ἡ, wild olive tree. [13] καλλιέλαιος, ου, ἡ, cultivated olive tree. [14] πόσος, how many? how great? [15] ἐλαία, ας, ἡ, olive tree. [16] ἀγνοέω, not know, be unaware. [17] μυστήριον, ου, τό, secret, mystery. [18] φρόνιμος, prudent, wise. [19] πώρωσις, εως, ἡ, hardness, obstinancy. [20] πλήρωμα, τος, τό, fullness, fulfillment. [21] οὕτως, thus, so. [22] ἥκω, have come, am present. [23] ῥύομαι, rescue, save. [24] ἀποστρέφω, turn away, turn back. [25] ἀσέβεια, ας, ἡ, ungodliness, impiety. [26] ἀφαιρέω, take away, smite off. [27] ἐκλογή, ῆς, ἡ, (divine) selection, choice. [28] ἀμεταμέλητος, without regret, not to be repented of. [29] χάρισμα, τος, τό, gift, undeserved favor. [30] κλῆσις, εως, ἡ, (divine) call, invitation. [31] ἀπειθέω, disbelieve, disobey.

ἠλεήθητε[1] τῇ τούτων ἀπειθείᾳ·[2] οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν,[3] τῷ 31
ὑμετέρῳ[4] ἐλέει[5] ἵνα καὶ αὐτοὶ ἐλεηθῶσιν·[1] συνέκλεισεν[6] γὰρ ὁ θεὸς 32
τοὺς πάντας εἰς ἀπείθειαν,[2] ἵνα τοὺς πάντας ἐλεήσῃ.[1]

Ὦ[7] βάθος[8] πλούτου[9] καὶ σοφίας καὶ γνώσεως[10] θεοῦ. Ὡς ἀνεξερεύνητα[11] 33
τὰ κρίματα[12] αὐτοῦ, καὶ ἀνεξιχνίαστοι[13] αἱ ὁδοὶ αὐτοῦ. Τίς γὰρ ἔγνω 34
νοῦν[14] κυρίου; Ἢ τίς σύμβουλος[15] αὐτοῦ ἐγένετο; Ἢ τίς προέδωκεν[16] 35
αὐτῷ, καὶ ἀνταποδοθήσεται[17] αὐτῷ; Ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ 36
εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν[18] τοῦ θεοῦ, **12**
παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν[19] ζῶσαν, ἁγίαν, εὐάρεστον[20] τῷ
θεῷ, τὴν λογικὴν[21] λατρείαν[22] ὑμῶν, καὶ μὴ συσχηματίζεσθαι[23] τῷ 2
αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθαι[24] τῇ ἀνακαινώσει[25] τοῦ νοὸς[14]
ὑμῶν, εἰς τὸ δοκιμάζειν[26] ὑμᾶς τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ
εὐάρεστον[20] καὶ τέλειον.[27]

Λέγω γάρ, διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ 3
ὑπερφρονεῖν[28] παρ᾽ ὃ δεῖ φρονεῖν,[29] ἀλλὰ φρονεῖν[29] εἰς τὸ σωφρονεῖν,[30]
ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισεν[31] μέτρον[32] πίστεως. Καθάπερ[33] γὰρ ἐν ἑνὶ 4

[1] ἐλεέω, have mercy, pity. [2] ἀπείθεια, ας, ἡ, disobedience, willful unbelief. [3] ἀπειθέω, disbelieve, disobey. [4] ὑμέτερος, your. [5] ἔλεος, ους, ὁ, pity, mercy. [6] συγκλείω, shut, enclose. [7] ὦ, Oh! omega. [8] βάθος, ους, τό, depth, deep. [9] πλοῦτος, ου, ὁ, wealth, riches. [10] γνῶσις, εως, ἡ, wisdom, knowledge. [11] ἀνεξερεύνητος, that cannot be searched into. [12] κρίμα, ος, τό, judgment, verdict. [13] ἀνεξιχνίαστος, inscrutable, incomprehensible. [14] νοῦς, ὁ, mind, reasoning faculty. [15] σύμβουλος, ου, ὁ, adviser, counsellor. [16] προδίδωμι, give in advance, give first. [17] ἀνταποδίδωμι, recompense, repay. [18] οἰκτιρμός, οῦ, ὁ, compassion, pity. [19] θυσία, ας, ἡ, sacrifice. [20] εὐάρεστος, well-pleasing, acceptable. [21] λογικός, thoughtful, reasonable. [22] λατρεία, ας, ἡ, service, divine worship. [23] συσχηματίζω, conform to. [24] μεταμορφόω, change the form, transform. [25] ἀνακαίνωσις, εως, ἡ, renewal, renewing. [26] δοκιμάζω, prove, approve. [27] τέλειος, complete, perfect. [28] ὑπερφρονέω, think too highly of oneself. [29] φρονέω, think, judge. [30] σωφρονέω, be of sound mind, judgment. [31] μερίζω, divide, part. [32] μέτρον, ου, τό, measure, measuring rod. [33] καθάπερ, even as, just as.

σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει
πρᾶξιν:[1] οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν χριστῷ, ὁ δὲ καθ' εἷς 5
ἀλλήλων μέλη. Ἔχοντες δὲ χαρίσματα[2] κατὰ τὴν χάριν τὴν 6
δοθεῖσαν ἡμῖν διάφορα,[3] εἴτε προφητείαν,[4] κατὰ τὴν ἀναλογίαν[5] τῆς
πίστεως: εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ: εἴτε ὁ διδάσκων, ἐν τῇ 7
διδασκαλίᾳ:[6] εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει:[7] ὁ μεταδιδούς,[8] ἐν 8
ἁπλότητι:[9] ὁ προϊστάμενος,[10] ἐν σπουδῇ:[11] ὁ ἐλεῶν,[12] ἐν ἱλαρότητι.[13] 9
Ἡ ἀγάπη ἀνυπόκριτος.[14] Ἀποστυγοῦντες[15] τὸ πονηρόν, κολλώμενοι[16]
τῷ ἀγαθῷ. Τῇ φιλαδελφίᾳ[17] εἰς ἀλλήλους φιλόστοργοι:[18] τῇ τιμῇ 10
ἀλλήλους προηγούμενοι:[19] τῇ σπουδῇ[11] μὴ ὀκνηροί:[20] τῷ πνεύματι 11
ζέοντες:[21] τῷ κυρίῳ δουλεύοντες:[22] τῇ ἐλπίδι χαίροντες: τῇ θλίψει 12
ὑπομένοντες:[23] τῇ προσευχῇ προσκαρτεροῦντες:[24] ταῖς χρείαις τῶν 13
ἁγίων κοινωνοῦντες:[25] τὴν φιλοξενίαν[26] διώκοντες. Εὐλογεῖτε τοὺς 14
διώκοντας ὑμᾶς: εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.[27] Χαίρειν μετὰ 15
χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. Τὸ αὐτὸ εἰς ἀλλήλους 16
φρονοῦντες.[28] Μὴ τὰ ὑψηλὰ[29] φρονοῦντες,[28] ἀλλὰ τοῖς ταπεινοῖς[30]
συναπαγόμενοι.[31] Μὴ γίνεσθε φρόνιμοι[32] παρ' ἑαυτοῖς. Μηδενὶ 17
κακὸν ἀντὶ[33] κακοῦ ἀποδιδόντες. Προνοούμενοι[34] καλὰ ἐνώπιον
πάντων ἀνθρώπων. Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων 18

[1] πρᾶξις, εως, ἡ, deed, function. [2] χάρισμα, τος, τό, gift, undeserved favor. [3] διάφορος, various, different. [4] προφητεία, ας, ἡ, prophecy. [5] ἀναλογία, ας, ἡ, proportion, measure. [6] διδασκαλία, ας, ἡ, teaching, doctrine. [7] παράκλησις, εως, ἡ, exhortation, consolation. [8] μεταδίδωμι, give a share of, share. [9] ἁπλότης, ητος, ἡ, singleness, hence simplicity. [10] προΐστημι, rule. [11] σπουδή, ῆς, ἡ, haste, diligence. [12] ἐλεέω, have mercy, pity. [13] ἱλαρότης, ητος, ἡ, cheerfulness, gladness. [14] ἀνυπόκριτος, sincere, without hypocrisy. [15] ἀποστυγέω, hate strongly, abhor. [16] κολλάω, glue, cleave. [17] φιλαδελφία, ας, ἡ, love of brothers, brotherly love. [18] φιλόστοργος, loving dearly, devoted. [19] προηγέομαι, go before, consider better. [20] ὀκνηρός, lazy, idle. [21] ζέω, be fervent, be hot. [22] δουλεύω, serve, am a slave. [23] ὑπομένω, tarry, endure. [24] προσκαρτερέω, continue in or with, persist. [25] κοινωνέω, have a share of, share. [26] φιλοξενία, ας, ἡ, hospitality. [27] καταράομαι, curse. [28] φρονέω, think, judge. [29] ὑψηλός, high, lofty. [30] ταπεινός, humble, downcast. [31] συναπάγω, lead away with, condescend to. [32] φρόνιμος, prudent, wise. [33] ἀντί, instead of, in place of. [34] προνοέω, provide for, have regard for.

εἰρηνεύοντες.[1] Μὴ ἑαυτοὺς ἐκδικοῦντες,[2] ἀγαπητοί, ἀλλὰ δότε 19
τόπον τῇ ὀργῇ: γέγραπται γάρ, Ἐμοὶ ἐκδίκησις,[3] ἐγὼ ἀνταποδώσω,[4]
λέγει κύριος. Ἐὰν οὖν πεινᾷ[5] ὁ ἐχθρός σου, ψώμιζε[6] αὐτόν: ἐὰν διψᾷ,[7] 20
πότιζε[8] αὐτόν: τοῦτο γὰρ ποιῶν, ἄνθρακας[9] πυρὸς σωρεύσεις[10] ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ. Μὴ νικῶ[11] ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα[11] ἐν τῷ 21
ἀγαθῷ τὸ κακόν.

Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις[12] ὑποτασσέσθω: οὐ γάρ ἐστιν **13**
ἐξουσία εἰ μὴ ὑπὸ θεοῦ, αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ θεοῦ τεταγμέναι
εἰσίν. Ὥστε ὁ ἀντιτασσόμενος[14] τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ[15] 2
ἀνθέστηκεν:[16] οἱ δὲ ἀνθεστηκότες[16] ἑαυτοῖς κρίμα[17] λήψονται. Οἱ γὰρ 3
ἄρχοντες οὐκ εἰσὶν φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν.
Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; Τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις
ἔπαινον[18] ἐξ αὐτῆς: θεοῦ γὰρ διάκονός ἐστίν σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ 4
τὸ κακὸν ποιῇς, φοβοῦ: οὐ γὰρ εἰκῇ[19] τὴν μάχαιραν[20] φορεῖ:[21] θεοῦ
γὰρ διάκονός ἐστιν, ἔκδικος[22] εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Διὸ 5
ἀνάγκη[23] ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν
συνείδησιν. Διὰ τοῦτο γὰρ καὶ φόρους[24] τελεῖτε:[25] λειτουργοὶ[26] γὰρ 6
θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες.[27] Ἀπόδοτε οὖν πᾶσιν 7
τὰς ὀφειλάς:[28] τῷ τὸν φόρον[24] τὸν φόρον:[24] τῷ τὸ τέλος τὸ τέλος: τῷ

[1] εἰρηνεύω, bring to peace, be at peace. [2] ἐκδικέω, vindicate, avenge. [3] ἐκδίκησις, εως, ἡ, vengeance, vindication. [4] ἀνταποδίδωμι, recompense, repay. [5] πεινάω, hunger, am hungry. [6] ψωμίζω, feed with morsels, feed. [7] διψάω, thirst, thirst for. [8] ποτίζω, give drink to, cause to drink. [9] ἄνθραξ, ακος, ὁ, charcoal, coals. [10] σωρεύω, heap up, weigh down with. [11] νικάω, overcome, conquer. [12] ὑπερέχω, rise above, surpass. [13] τάσσω, arrange, appoint. [14] ἀντιτάσσομαι, range in battle against, oppose. [15] διαταγή, ῆς, ἡ, ordinance, direction. [16] ἀνθίστημι, resist, oppose. [17] κρίμα, ος, τό, judgment, verdict. [18] ἔπαινος, ου, ὁ, praise, commendation. [19] εἰκῇ, without cause or reason, vainly. [20] μάχαιρα, ης, ἡ, sword. [21] φορέω, wear, bear. [22] ἔκδικος, ου, ὁ, avenging, punishing. [23] ἀνάγκη, ης, ἡ, necessity, distress. [24] φόρος, ου, ὁ, tribute, tax. [25] τελέω, finish, fulfill. [26] λειτουργός, οῦ, ὁ, minister, servant. [27] προσκαρτερέω, continue in or with, persist. [28] ὀφειλή, ῆς, ἡ, debt, duty.

τὸν φόβον τὸν φόβον: τῷ τὴν τιμὴν τὴν τιμήν.

Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους: ὁ γὰρ ἀγαπῶν τὸν 8
ἕτερον, νόμον πεπλήρωκεν. Τὸ γάρ, Οὐ μοιχεύσεις,[1] οὐ φονεύσεις,[2] 9
οὐ κλέψεις,[3] οὐκ ἐπιθυμήσεις,[4] καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ
λόγῳ ἀνακεφαλαιοῦται,[5] ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον[6] σου ὡς
σεαυτόν. Ἡ ἀγάπη τῷ πλησίον[6] κακὸν οὐκ ἐργάζεται: πλήρωμα[7] οὖν 10
νόμου ἡ ἀγάπη.

Καὶ τοῦτο, εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου[8] ἐγερθῆναι: 11
νῦν γὰρ ἐγγύτερον[9] ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ 12
προέκοψεν,[10] ἡ δὲ ἡμέρα ἤγγικεν: ἀποθώμεθα[11] οὖν τὰ ἔργα τοῦ
σκότους, καὶ ἐνδυσώμεθα[12] τὰ ὅπλα[13] τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ, 13
εὐσχημόνως[14] περιπατήσωμεν, μὴ κώμοις[15] καὶ μέθαις,[16] μὴ κοίταις[17]
καὶ ἀσελγείαις,[18] μὴ ἔριδι[19] καὶ ζήλῳ.[20] Ἀλλ' ἐνδύσασθε[12] τὸν κύριον 14
Ἰησοῦν χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν[21] μὴ ποιεῖσθε, εἰς
ἐπιθυμίας.

Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε,[22] μὴ εἰς διακρίσεις[23] **14**
διαλογισμῶν.[24] Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα 2
ἐσθίει. Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω,[26] καὶ ὁ μὴ ἐσθίων 3

[1] μοιχεύω, commit adultery. [2] φονεύω, kill, murder. [3] κλέπτω, steal. [4] ἐπιθυμέω, desire, long for. [5] ἀνακεφαλαιόω, sum up, recapitulate. [6] πλησίον, near, neighbor (as a noun). [7] πλήρωμα, τος, τό, fullness, fulfillment. [8] ὕπνος, ου, ὁ, sleep. [9] ἐγγύτερον, nearer. [10] προκόπτω, proceed, advance. [11] ἀποτίθημι, put off, lay aside. [12] ἐνδύω, put on, clothe. [13] ὅπλον, ου, τό, tool, implement. [14] εὐσχημόνως, becomingly, properly. [15] κῶμος, ου, ὁ, excessive feasting, carousing. [16] μέθη, ης, ἡ, drunkenness. [17] κοίτη, ης, ἡ, bed, sexual promiscuity. [18] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [19] ἔρις, ιδος, ἡ, strife, contention. [20] ζῆλος, ου, ὁ, zeal, jealousy. [21] πρόνοια, ας, ἡ, forethought, foresight. [22] προσλαμβάνω, take to myself, welcome. [23] διάκρισις, εως, ἡ, act of passing judgment. [24] διαλογισμός, οῦ, ὁ, reasoning, questioning. [25] λάχανον, ου, τό, garden herb, vegetable. [26] ἐξουθενέω, despise, ignore.

τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο.[1] Σὺ τίς εἶ ὁ 4
κρίνων ἀλλότριον[2] οἰκέτην;[3] Τῷ ἰδίῳ κυρίῳ στήκει[4] ἢ πίπτει.
Σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν. Ὃς μὲν 5
κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. Ἕκαστος ἐν
τῷ ἰδίῳ νοΐ[5] πληροφορείσθω.[6] Ὁ φρονῶν[7] τὴν ἡμέραν, κυρίῳ φρονεῖ·[7] 6
καὶ ὁ μὴ φρονῶν[7] τὴν ἡμέραν, κυρίῳ οὐ φρονεῖ.[7] Καὶ ὁ ἐσθίων κυρίῳ
ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ θεῷ· καὶ ὁ μὴ ἐσθίων κυρίῳ οὐκ ἐσθίει, καὶ
εὐχαριστεῖ τῷ θεῷ. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ 7
ἀποθνῄσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν· ἐάν τε 8
ἀποθνῄσκωμεν, τῷ κυρίῳ ἀποθνῄσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε
ἀποθνῄσκωμεν, τοῦ κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ χριστὸς καὶ 9
ἀπέθανεν καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων
κυριεύσῃ.[8] Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; Ἢ καὶ σὺ τί ἐξουθενεῖς[9] 10
τὸν ἀδελφόν σου; Πάντες γὰρ παραστησόμεθα τῷ βήματι[10] τοῦ
χριστοῦ. Γέγραπται γάρ, Ζῶ ἐγώ, λέγει κύριος· ὅτι ἐμοὶ κάμψει[11] πᾶν 11
γόνυ,[12] καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται[13] τῷ θεῷ. Ἄρα οὖν 12
ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ.

Μηκέτι[14] οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ 13
τιθέναι πρόσκομμα[15] τῷ ἀδελφῷ ἢ σκάνδαλον.[16] Οἶδα καὶ πέπεισμαι 14
ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν[17] δι' αὐτοῦ· εἰ μὴ τῷ λογιζομένῳ τι

[1] προσλαμβάνω, take to myself, welcome. [2] ἀλλότριος, strange, foreign. [3] οἰκέτης, ου, ὁ, house servant, household servant. [4] στήκω, stand, stand fast. [5] νοῦς, ὁ, mind, reasoning faculty. [6] πληροφορέω, fulfill, accomplish fully. [7] φρονέω, think, judge. [8] κυριεύω, be lord over, rule. [9] ἐξουθενέω, despise, ignore. [10] βῆμα, τος, τό, judgment seat. [11] κάμπτω, bend, bow. [12] γόνυ, ατος, τό, knee. [13] ἐξομολογέω, confess, profess. [14] μηκέτι, no longer. [15] πρόσκομμα, τος, τό, stumbling, occasion of stumbling. [16] σκάνδαλον, ου, τό, cause of stumbling, snare. [17] κοινός, common, unclean.

κοινὸν[1] εἶναι, ἐκείνῳ κοινόν.[1] Εἰ δὲ διὰ βρῶμα[2] ὁ ἀδελφός σου 15
λυπεῖται,[3] οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Μὴ τῷ βρώματί[2] σου
ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ χριστὸς ἀπέθανεν. Μὴ βλασφημείσθω οὖν 16
ὑμῶν τὸ ἀγαθόν: οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις[4] καὶ 17
πόσις,[5] ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ. Ὁ 18
γὰρ ἐν τούτοις δουλεύων[6] τῷ χριστῷ εὐάρεστος[7] τῷ θεῷ, καὶ δόκιμος[8]
τοῖς ἀνθρώποις. Ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς 19
οἰκοδομῆς[9] τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν[10] βρώματος[2] κατάλυε[11] τὸ 20
ἔργον τοῦ θεοῦ. Πάντα μὲν καθαρά,[12] ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ
διὰ προσκόμματος[13] ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέα,[14] μηδὲ πιεῖν 21
οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει[15] ἢ σκανδαλίζεται[16] ἢ
ἀσθενεῖ. Σὺ πίστιν ἔχεις; Κατὰ σεαυτὸν ἔχε ἐνώπιον τοῦ θεοῦ. 22
Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει.[17] Ὁ δὲ διακρινόμενος,[18] 23
ἐὰν φάγῃ, κατακέκριται,[19] ὅτι οὐκ ἐκ πίστεως: πᾶν δὲ ὃ οὐκ ἐκ
πίστεως, ἁμαρτία ἐστίν.

Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι[20] κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ 24
κήρυγμα[21] Ἰησοῦ χριστοῦ, κατὰ ἀποκάλυψιν[22] μυστηρίου[23] χρόνοις
αἰωνίοις σεσιγημένου,[24] φανερωθέντος δὲ νῦν, διά τε γραφῶν 25
προφητικῶν,[25] κατ᾽ ἐπιταγὴν[26] τοῦ αἰωνίου θεοῦ, εἰς ὑπακοὴν[27]

[1] κοινός, common, unclean. [2] βρῶμα, τος, τό, food, food of any kind. [3] λυπέω, grieve, pain. [4] βρῶσις, εως, ἡ, eating, food. [5] πόσις, εως, ἡ, drinking, drink. [6] δουλεύω, serve, am a slave. [7] εὐάρεστος, well-pleasing, acceptable. [8] δόκιμος, tested, approved. [9] οἰκοδομή, ῆς, ἡ, building, edification. [10] ἕνεκεν, for the sake of, on account of. [11] καταλύω, destroy, lodge. [12] καθαρός, clean, pure. [13] πρόσκομμα, τος, τό, stumbling, occasion of stumbling. [14] κρέας, τό, meat, flesh. [15] προσκόπτω, strike against, stumble. [16] σκανδαλίζω, cause to stumble. [17] δοκιμάζω, prove, approve. [18] διακρίνω, discriminate, judge. [19] κατακρίνω, condemn. [20] στηρίζω, establish, fix firmly. [21] κήρυγμα, τος, τό, proclamation, preaching. [22] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [23] μυστήριον, ου, τό, secret, mystery. [24] σιγάω, be silent, become silent. [25] προφητικός, prophetic. [26] ἐπιταγή, ῆς, ἡ, command, commandment. [27] ὑπακοή, ῆς, ἡ, obedience.

πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος,[1] μόνῳ σοφῷ[2] θεῷ, διὰ 26
Ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα[3] τῶν ἀδυνάτων[4] **15**
βαστάζειν,[5] καὶ μὴ ἑαυτοῖς ἀρέσκειν.[6] Ἕκαστος ἡμῶν τῷ πλησίον[7] 2
ἀρεσκέτω[6] εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν.[8] Καὶ γὰρ ὁ χριστὸς οὐχ 3
ἑαυτῷ ἤρεσεν,[6] ἀλλά, καθὼς γέγραπται, Οἱ ὀνειδισμοὶ[9] τῶν
ὀνειδιζόντων[10] σε ἐπέπεσον[11] ἐπ' ἐμέ. Ὅσα γὰρ προεγράφη,[12] εἰς τὴν 4
ἡμετέραν[13] διδασκαλίαν[14] προεγράφη,[12] ἵνα διὰ τῆς ὑπομονῆς καὶ διὰ
τῆς παρακλήσεως[15] τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ θεὸς τῆς 5
ὑπομονῆς καὶ τῆς παρακλήσεως[15] δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν[16] ἐν
ἀλλήλοις κατὰ χριστὸν Ἰησοῦν: ἵνα ὁμοθυμαδὸν[17] ἐν ἑνὶ στόματι 6
δοξάζητε τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. Διὸ 7
προσλαμβάνεσθε[18] ἀλλήλους, καθὼς καὶ ὁ χριστὸς προσελάβετο[18]
ὑμᾶς, εἰς δόξαν θεοῦ. Λέγω δέ, χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι 8
περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ βεβαιῶσαι[19] τὰς ἐπαγγελίας
τῶν πατέρων: τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους[20] δοξάσαι τὸν θεόν, καθὼς 9
γέγραπται, Διὰ τοῦτο ἐξομολογήσομαί[21] σοι ἐν ἔθνεσιν, καὶ τῷ
ὀνόματί σου ψαλῶ.[22] Καὶ πάλιν λέγει, Εὐφράνθητε,[23] ἔθνη, μετὰ τοῦ 10
λαοῦ αὐτοῦ. Καὶ πάλιν, Αἰνεῖτε[24] τὸν κύριον πάντα τὰ ἔθνη, καὶ 11

[1] γνωρίζω, make known, declare. [2] σοφός, wise. [3] ἀσθένημα, τος, τό, weakness, infirmity. [4] ἀδύνατος, impossible, unable. [5] βαστάζω, bear, carry. [6] ἀρέσκω, please, serve. [7] πλησίον, near, neighbor (as a noun). [8] οἰκοδομή, ῆς, ἡ, building, edification. [9] ὀνειδισμός, οῦ, ὁ, reproach, reviling. [10] ὀνειδίζω, reproach, revile. [11] ἐπιπίπτω, fall upon, press upon. [12] προγράφω, write before, write previously. [13] ἡμέτερος, our, our own. [14] διδασκαλία, ας, ἡ, teaching, doctrine. [15] παράκλησις, εως, ἡ, exhortation, consolation. [16] φρονέω, think, judge. [17] ὁμοθυμαδόν, with one accord, with one mind. [18] προσλαμβάνω, take to myself, welcome. [19] βεβαιόω, confirm, secure. [20] ἔλεος, ους, ὁ, pity, mercy. [21] ἐξομολογέω, confess, profess. [22] ψάλλω, sing, sing praise. [23] εὐφραίνω, rejoice, cheer. [24] αἰνέω, praise.

ἐπαινέσατε[1] αὐτὸν πάντες οἱ λαοί. Καὶ πάλιν Ἠσαΐας[2] λέγει, Ἔσται 12
ἡ ῥίζα[3] τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν[4] ἐθνῶν: ἐπ᾽ αὐτῷ ἔθνη
ἐλπιοῦσιν. Ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ 13
εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν
δυνάμει πνεύματος ἁγίου.

Πέπεισμαι δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ 14
μεστοί[5] ἐστε ἀγαθωσύνης,[6] πεπληρωμένοι πάσης γνώσεως,[7]
δυνάμενοι καὶ ἄλλους νουθετεῖν.[8] Τολμηρότερον[9] δὲ ἔγραψα ὑμῖν, 15
ἀδελφοί, ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων[10] ὑμᾶς, διὰ τὴν χάριν τὴν
δοθεῖσάν μοι ὑπὸ τοῦ θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν[11] Ἰησοῦ 16
χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα[12] τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα
γένηται ἡ προσφορὰ[13] τῶν ἐθνῶν εὐπρόσδεκτος,[14] ἡγιασμένη[15] ἐν
πνεύματι ἁγίῳ. Ἔχω οὖν καύχησιν[16] ἐν χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν 17
θεόν. Οὐ γὰρ τολμήσω[17] λαλεῖν τι ὧν οὐ κατειργάσατο[18] χριστὸς δι᾽ 18
ἐμοῦ, εἰς ὑπακοὴν[19] ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ 19
τεράτων,[20] ἐν δυνάμει πνεύματος θεοῦ: ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ
κύκλῳ[21] μέχρι[22] τοῦ Ἰλλυρικοῦ[23] πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ
χριστοῦ: οὕτως δὲ φιλοτιμούμενον[24] εὐαγγελίζεσθαι, οὐχ ὅπου 20
ὠνομάσθη[25] χριστός, ἵνα μὴ ἐπ᾽ ἀλλότριον[26] θεμέλιον[27] οἰκοδομῶ: 21

[1] ἐπαινέω, praise, commend. [2] Ἠσαΐας, ου, ὁ, Isaiah. [3] ῥίζα, ης, ἡ, root, that which grows from the root. [4] ἄρχω, rule, reign. [5] μεστός, full. [6] ἀγαθωσύνη, ης, ἡ, goodness. [7] γνῶσις, εως, ἡ, wisdom, knowledge. [8] νουθετέω, admonish, exhort. [9] τολμηρότερον, more boldly. [10] ἐπαναμιμνήσκω, remind. [11] λειτουργός, οῦ, ὁ, minister, servant. [12] ἱερουργέω, perform holy service, act as a priest. [13] προσφορά, ᾶς, ἡ, offering, sacrifice. [14] εὐπρόσδεκτος, acceptable, well-received. [15] ἁγιάζω, make holy, consecrate. [16] καύχησις, εως, ἡ, boasting, act of boasting. [17] τολμάω, dare, endure. [18] κατεργάζομαι, work out, produce. [19] ὑπακοή, ῆς, ἡ, obedience. [20] τέρας, ατος, τό, wonder, portent. [21] κύκλος, ου, ὁ, circle. [22] μέχρι, until, as far as (gen). [23] Ἰλλυρικόν, οῦ, τό, Illyricum. [24] φιλοτιμέομαι, have as an ambition, aspire to. [25] ὀνομάζω, name, give a name to. [26] ἀλλότριος, strange, foreign. [27] θεμέλιος, ου, ὁ, foundation.

ἀλλά, καθὼς γέγραπται, Οἷς οὐκ ἀνηγγέλη[1] περὶ αὐτοῦ, ὄψονται:
καὶ οἳ οὐκ ἀκηκόασιν συνήσουσιν.[2]

Διὸ καὶ ἐνεκοπτόμην[3] τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς: νυνὶ[4] δὲ μηκέτι[5] 22
τόπον ἔχων ἐν τοῖς κλίμασιν[6] τούτοις, ἐπιποθίαν[7] δὲ ἔχων τοῦ ἐλθεῖν
πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, ὡς ἐὰν πορεύωμαι εἰς τὴν Σπανίαν,[8] 24
ἐλεύσομαι πρὸς ὑμᾶς: ἐλπίζω γὰρ διαπορευόμενος[9] θεάσασθαι[10] ὑμᾶς,
καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι[11] ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους
ἐμπλησθῶ.[12] Νυνὶ[4] δὲ πορεύομαι εἰς Ἱερουσαλήμ, διακονῶν τοῖς 25
ἁγίοις. Εὐδόκησαν[13] γὰρ Μακεδονία[14] καὶ Ἀχαΐα[15] κοινωνίαν[16] τινὰ 26
ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. 27
Εὐδόκησαν[13] γάρ, καὶ ὀφειλέται[17] αὐτῶν εἰσιν. Εἰ γὰρ τοῖς
πνευματικοῖς[18] αὐτῶν ἐκοινώνησαν[19] τὰ ἔθνη, ὀφείλουσιν καὶ ἐν τοῖς
σαρκικοῖς[20] λειτουργῆσαι[21] αὐτοῖς. Τοῦτο οὖν ἐπιτελέσας,[22] καὶ 28
σφραγισάμενος[23] αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι δι᾽ ὑμῶν
εἰς τὴν Σπανίαν.[8] Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς ἐν πληρώματι[24] 29
εὐλογίας[25] τοῦ εὐαγγελίου τοῦ χριστοῦ ἐλεύσομαι.

[1] ἀναγγέλλω, announce, report. [2] συνίημι, understand, consider. [3] ἐγκόπτω, impede, detain. [4] νυνί, now, already. [5] μηκέτι, no longer. [6] κλίμα, τος, τό, region, territory. [7] ἐπιποθία, ας, ἡ, longing, desire. [8] Σπανία, ας, ἡ, Spain. [9] διαπορεύομαι, pass across, journey through. [10] θεάομαι, look at, behold. [11] προπέμπω, send before, send forth. [12] ἐμπίπλημι, fill up, satisfy. [13] εὐδοκέω, think it good, be well pleased with. [14] Μακεδονία, ας, ἡ, Macedonia. [15] Ἀχαΐα, ας, ἡ, Achaia. [16] κοινωνία, ας, ἡ, fellowship, contribution. [17] ὀφειλέτης, ου, ὁ, debtor, sinner. [18] πνευματικός, spiritual. [19] κοινωνέω, have a share of, share. [20] σαρκικός, fleshly, carnal. [21] λειτουργέω, minister, serve. [22] ἐπιτελέω, complete, perform. [23] σφραγίζω, seal, set a seal upon. [24] πλήρωμα, τος, τό, fullness, fulfillment. [25] εὐλογία, ας, ἡ, blessing, adulation.

Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ 30
διὰ τῆς ἀγάπης τοῦ πνεύματος, συναγωνίσασθαί[1] μοι ἐν ταῖς
προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν· ἵνα ῥυσθῶ[2] ἀπὸ τῶν 31
ἀπειθούντων[3] ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς
Ἱερουσαλὴμ εὐπρόσδεκτος[4] γένηται τοῖς ἁγίοις· ἵνα ἐν χαρᾷ ἔλθω 32
πρὸς ὑμᾶς διὰ θελήματος θεοῦ, καὶ συναναπαύσωμαι[5] ὑμῖν. Ὁ δὲ 33
θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν.

Συνίστημι[6] δὲ ὑμῖν Φοίβην[7] τὴν ἀδελφὴν[8] ἡμῶν, οὖσαν διάκονον τῆς **16**
ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς·[9] ἵνα αὐτὴν προσδέξησθε[10] ἐν κυρίῳ 2
ἀξίως[11] τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ[12]
πράγματι·[13] καὶ γὰρ αὐτὴ προστάτις[14] πολλῶν ἐγενήθη, καὶ αὐτοῦ
ἐμοῦ.

Ἀσπάσασθε Πρίσκαν[15] καὶ Ἀκύλαν[16] τοὺς συνεργούς[17] μου ἐν χριστῷ 3
Ἰησοῦ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον[18] ὑπέθηκαν, 4
οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν
ἐθνῶν· καὶ τὴν κατ᾽ οἶκον αὐτῶν ἐκκλησίαν. Ἀσπάσασθε Ἐπαίνετον 5
τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ[21] τῆς Ἀχαΐας[22] εἰς χριστόν. 6
Ἀσπάσασθε Μαριάμ, ἥτις πολλὰ ἐκοπίασεν[23] εἰς ἡμᾶς. Ἀσπάσασθε 7

[1] συναγωνίζομαι, strive together. [2] ῥύομαι, rescue, save. [3] ἀπειθέω, disbelieve, disobey. [4] εὐπρόσδεκτος, acceptable, well-received. [5] συναναπαύομαι, rest with, rest along with. [6] συνίστημι, commend (transitive), stand with. [7] Φοίβη, ης, ἡ, Phoebe. [8] ἀδελφή, ῆς, ἡ, sister. [9] Κεγχρεαί, ῶν, ἡ, Cenchreae. [10] προσδέχομαι, receive, wait for. [11] ἀξίως, worthily, in a manner worthy of. [12] χρῄζω, need, have need of. [13] πρᾶγμα, τος, τό, deed, matter. [14] προστάτις, ιδος, ἡ, patron, benefactor. [15] Πρίσκα, ἡ, Prisca, Priscilla. [16] Ἀκύλας, ὁ, Aquila. [17] συνεργός, οῦ, ὁ, fellow worker. [18] τράχηλος, ου, ὁ, neck. [19] ὑποτίθημι, lay down, make known. [20] Ἐπαίνετος, ου, ὁ, Epaenetus. [21] ἀπαρχή, ῆς, ἡ, first fruit. [22] Ἀχαΐα, ας, ἡ, Achaia. [23] κοπιάω, toil, labor.

Ἀνδρόνικον[1] καὶ Ἰουνίαν[2] τοὺς συγγενεῖς[3] μου καὶ συναιχμαλώτους[4]
μου, οἵτινές εἰσιν ἐπίσημοι[5] ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ
γεγόνασιν ἐν χριστῷ. Ἀσπάσασθε Ἀμπλίαν[6] τὸν ἀγαπητόν μου ἐν 8
κυρίῳ. Ἀσπάσασθε Οὐρβανὸν[7] τὸν συνεργὸν[8] ἡμῶν ἐν χριστῷ, καὶ 9
Στάχυν[9] τὸν ἀγαπητόν μου. Ἀσπάσασθε Ἀπελλῆν[10] τὸν δόκιμον[11] ἐν 10
χριστῷ. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου.[12] Ἀσπάσασθε 11
Ἡρῳδίωνα[13] τὸν συγγενῆ[3] μου. Ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου,
τοὺς ὄντας ἐν κυρίῳ. Ἀσπάσασθε Τρύφαιναν[15] καὶ Τρυφῶσαν[16] τὰς 12
κοπιώσας[17] ἐν κυρίῳ. Ἀσπάσασθε Περσίδα[18] τὴν ἀγαπητήν, ἥτις
πολλὰ ἐκοπίασεν[17] ἐν κυρίῳ. Ἀσπάσασθε Ῥοῦφον[19] τὸν ἐκλεκτὸν[20] ἐν 13
κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. Ἀσπάσασθε Ἀσύγκριτον,[21] 14
Φλέγοντα,[22] Ἑρμᾶν,[23] Πατρόβαν,[24] Ἑρμῆν,[25] καὶ τοὺς σὺν αὐτοῖς
ἀδελφούς. Ἀσπάσασθε Φιλόλογον[26] καὶ Ἰουλίαν,[27] Νηρέα[28] καὶ τὴν 15
ἀδελφὴν[29] αὐτοῦ, καὶ Ὀλυμπᾶν,[30] καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους.
Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι[31] ἁγίῳ. Ἀσπάζονται ὑμᾶς αἱ 16
ἐκκλησίαι τοῦ χριστοῦ.

Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν[32] τοὺς τὰς διχοστασίας[33] καὶ τὰ 17
σκάνδαλα,[34] παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε,[35] ποιοῦντας: καὶ

[1] Ἀνδρόνικος, ου, ὁ, Andronicus. [2] Ἰουνιᾶς, ᾶ, ὁ, Junias, Junia. [3] συγγενής, kindred, relative. [4] συναιχμάλωτος, ου, ὁ, fellow prisoner, fellow captive. [5] ἐπίσημος, splendid, outstanding. [6] Ἀμπλίας, ου, ὁ, Ampliatus. [7] Οὐρβανός, οῦ, ὁ, Urbanus. [8] συνεργός, οῦ, ὁ, fellow worker. [9] στάχυς, υος, ὁ, Stachys, head of grain. [10] Ἀπελλῆς, οῦ, ὁ, Apelles. [11] δόκιμος, tested, approved. [12] Ἀριστόβουλος, ου, ὁ, Aristobulus. [13] Ἡρῳδίων, ωνος, ὁ, Herodion. [14] Νάρκισσος, ου, ὁ, Narcissus. [15] Τρύφαινα, ης, ἡ, Tryphena, Tryphaena. [16] Τρυφῶσα, ης, ἡ, Tryphosa. [17] κοπιάω, toil, labor. [18] Περσίς, ίδος, ἡ, Persis. [19] Ῥοῦφος, ου, ὁ, Rufus. [20] ἐκλεκτός, chosen, elect. [21] Ἀσύγκριτος, ου, ὁ, Asyncritus. [22] Φλέγων, οντος, ὁ, Phlegon. [23] Ἑρμᾶς, ᾶ, ὁ, Hermas. [24] Πατρόβας, ᾶ, ὁ, Patrobas. [25] Ἑρμῆς, οῦ, ὁ, Hermes. [26] Φιλόλογος, ου, ὁ, Philologus. [27] Ἰουλία, ας, ἡ, Julia. [28] Νηρεύς, έως, ὁ, Nereus. [29] ἀδελφή, ῆς, ἡ, sister. [30] Ὀλυμπᾶς, ᾶ, ὁ, Olympas. [31] φίλημα, τος, τό, kiss. [32] σκοπέω, look at, contemplate. [33] διχοστασία, ας, ἡ, dissension, division. [34] σκάνδαλον, ου, τό, cause of stumbling, snare. [35] μανθάνω, learn, ascertain.

ἐκκλίνατε[1] ἀπ' αὐτῶν. Οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ 18
χριστῷ οὐ δουλεύουσιν,[2] ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ·[3] καὶ διὰ τῆς
χρηστολογίας[4] καὶ εὐλογίας[5] ἐξαπατῶσιν[6] τὰς καρδίας τῶν ἀκάκων.[7] 19
Ἡ γὰρ ὑμῶν ὑπακοὴ[8] εἰς πάντας ἀφίκετο.[9] Χαίρω οὖν τὸ ἐφ' ὑμῖν·
θέλω δὲ ὑμᾶς σοφοὺς[10] μὲν εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραίους[11] δὲ εἰς τὸ
κακόν. Ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει[12] τὸν Σατανᾶν ὑπὸ τοὺς 20
πόδας ὑμῶν ἐν τάχει.[13]

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μεθ' ὑμῶν.

Ἀσπάζονται ὑμᾶς Τιμόθεος[14] ὁ συνεργός[15] μου, καὶ Λούκιος[16] καὶ 21
Ἰάσων[17] καὶ Σωσίπατρος[18] οἱ συγγενεῖς[19] μου. Ἀσπάζομαι ὑμᾶς ἐγὼ 22
Τέρτιος,[20] ὁ γράψας τὴν ἐπιστολήν,[21] ἐν κυρίῳ. Ἀσπάζεται ὑμᾶς 23
Γάϊος[22] ὁ ξένος[23] μου καὶ τῆς ἐκκλησίας ὅλης. Ἀσπάζεται ὑμᾶς
Ἔραστος[24] ὁ οἰκονόμος[25] τῆς πόλεως, καὶ Κούαρτος[26] ὁ ἀδελφός. Ἡ 24
χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

[1] ἐκκλίνω, deviate, turn away. [2] δουλεύω, serve, am a slave. [3] κοιλία, ας, ἡ, belly, womb. [4] χρηστολογία, ας, ἡ, smooth, plausible speech. [5] εὐλογία, ας, ἡ, blessing, adulation. [6] ἐξαπατάω, seduce wholly, deceive. [7] ἄκακος, guileless, innocent. [8] ὑπακοή, ῆς, ἡ, obedience. [9] ἀφικνέομαι, reach, arrive at. [10] σοφός, wise. [11] ἀκέραιος, unmixed, pure. [12] συντρίβω, break in pieces, crush. [13] τάχος, ους, τό, speed, quickness. [14] Τιμόθεος, ου, ὁ, Timothy. [15] συνεργός, οῦ, ὁ, fellow worker. [16] Λούκιος, ου, ὁ, Lucius. [17] Ἰάσων, ονος, ὁ, Jason. [18] Σωσίπατρος, ου, ὁ, Sosipater. [19] συγγενής, kindred, relative. [20] Τέρτιος, ου, ὁ, Tertius. [21] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [22] Γάϊος, ου, ὁ, Gaius. [23] ξένος, strange, stranger. [24] Ἔραστος, ου, ὁ, Erastus. [25] οἰκονόμος, ου, ὁ, manager, steward. [26] Κούαρτος, ου, ὁ, Quartus.